ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΛΕΙ
Α5

ΛΕΙΤΟΥΡΓΙΑΙ
ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ,

Ιακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοθέου.
Βασιλείου τοῦ μεγάλου.
Ιωάννου τοῦ χρυσοστόμου.

ΓΕΡΙ ΤΩΝ ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ.

Διονυσίου τοῦ Ἀρεοπαγίτου.
Ιουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος.
Γρηγορίου τοῦ Νύσσης Ἀρχιεπισκόπου.
Ιωάννου τοῦ Δαμασκηνοῦ.
Νικολάου τοῦ Μεθώνης Ἐπισκόπου.
Σαμωνᾶ τοῦ Γάζης Ἀρχιεπισκόπου.
Μαρκου τοῦ Εφέσου Ἀρχιεπισκόπου.
Γερμανοῦ τοῦ Κωνσταντινουπόλεως Ἀρχιεπισκόπου.
Γεννάδου Κωνσταντινουπόλεως Ἀρχιεπισκόπου.

Omnia Latinè seorsim excusa sunt.

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΟΡ
ΞΕΝΟΦΩΝ Α. ΣΩΛΟΜΟΣ
ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΠΟΛΕΙ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 1208
ΒΙΒΛΙΟΘΗΚΗ ΣΕΡΒΙΟΥ

Βασιλῆ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

PARISIIS, M. D. LX.
Apud Guil. Morelium, in Græcis typographum Regium.
PRIVILEGIO REGIS.

Congregationis Coloccini

ΔΙΚΑ ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἐπὶ τέλει τοῦ παρόντος βιβλίου.

Τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, περὶ τῆς θείας καὶ ἱερᾶς λειτουργίας. σελὶς 1.

Ἡ θεία λειτουργία τοῦ ἁγίου Ἀποστόλου καὶ ἀδελφοθέου Ἰακώβου. 3.

Τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου. 43.

Ἰωάννου τοῦ χρυσοστόμου. 69.

Ἐκ τῶν Διονυσίου τοῦ ἀρεοπαγίτου, περὶ τῆς ὁσιοτάτης τελετῆς μυήσεως. 111.

Ἐκ τῶν Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, περὶ λειτουργίας. 121.

Γρηγορίου τοῦ ἀρχιεπισκόπου Νύσσης, ὅτι ὁ ἁγιαζόμενος ἄρτος, εἰς τὸ σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖται, καὶ ὅτι ἀπάλλαττει τὴν ἀνθρωπίνην φύσιν, ἀθανασίας μεταλαβοῦσαν. 123.

Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι τύπος τοῦ κυριακοῦ σώματος, ἀλλ' αὐτὸ ἐκεῖνο θεοῦ θεωθὲν σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 125.

Νικηφόρου τοῦ ὁμολογητοῦ Μεθώνης, [illegible] τῆς θείας λειτουργίας καὶ λέξεις ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 129.

Τοῦ Σαμωνᾶ ἀρχιεπισκόπου Γαζῆς καὶ Ἀθηνῶν τοῦ Φιλοσόφου, ἀποδεικνύουσα τὸν ἡμῶν τοῦ ἱερέως ἱερουργούμενον ἄρτον καὶ οἶνον, σῶμα καὶ αἷμα θεωθὲν καὶ ἀλήθειαν εἶναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 133.

Μάρκου τοῦ ἀρχιεπισκόπου Ἐφέσου, ὅτι οὐ μόνον ἀπὸ τῆς φωνῆς τῶν ἀποστολικῶν ῥημάτων ἁγιάζονται τὰ θεῖα δῶρα, ἀλλ' ἐκ τῆς μετὰ ταῦτα δεήσεως καὶ εὐλογίας τοῦ ἱερέως, δυναμουμένου ἁγίου πνεύματος. 138.

Τοῦ ὁσίου πατρὸς ἡμῶν Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, λειτουργίας ἑρμηνεία καὶ μυστικὴ θεωρία. 145.

Pag. 2. versu 1. lege, ἔφθη. 11. 8. ἡμῶν. 39. 16. τῆς μόνον.
49. 1. ἀποστόλων μόνον. 133. 15. ἀπέλθομεν. 134. 35. ὑμῶν οὕτω.

ΚΑΝΩΝ λϛ. ΤΩΝ ΕΝ ΚΩΝ-
σταντινουπόλει ἐν τῷ Τρούλλῳ.

ΕΠΕΙΔΗ εἰς γνῶσιν ἡμετέρην ἦλθεν, ὡς ἐν τῇ τῶν ἀρμενίων χώρᾳ, οἶνον μόνον ἐν τῇ ἱερᾷ τραπέζῃ προσφέρουσιν, ὕδωρ αὐτῷ μὴ μιγνύντες, οἱ τὸν αἱματικὸν θυσίαν ὑπιτελοῦντες, προσθήκην τὸν τῆς ἐκκλησίας διδάσκαλον Ἰωάννην τὸν χρυσόστομον, φάσκοντα ἀφ' οὗ τῆς εἰς τὸν κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας, ταῦτα· λίνος ἔνεστιν ἄνευ ὕδατος ἔπιεν ἀναστάς, ἀλλ' οἶνον· ἄλλοι αἱρέσεις πονηραὶ προσόρριζον αἷμα αὐτῶν· ἐπειδὴ δὲ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι χρῆσθαι μιγνύοντες, δῆλον ὅτι καὶ ἡνίκα τὰ μυστήρια παρέδωκε, καὶ ἡνίκα αἰτάσας χωρὶς μυστηρίων καὶ φιλὴν τράπεζαν παρεπίθετο, οἴνῳ ἐχρῆτο, οὐκ ἐν ὕδατι μόνος, φησί, τὸν ἄμπελον· ἄμπελος γὰρ, οἶνον, οὐκ ὕδωρ λέγει· οὐκ τοῦτον γὰρ διδάσκαλον οἴονται δύνασθαι εἰπεῖν τὸν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγωγεῖν· ὡς δὲ μὴ καὶ ἀπὸ τούτων κατέχοιντο τῇ ἀγνοίᾳ, τὸν τοῦ παντὸς δεσπότου ὀρθοδόξως ἀπεκαλύπτομεν· τὸν δὲ πονηρὰς τῶν ὑδροπαρεστῶν αἱρέσεως παλαιᾶς ὑπαρχούσης, οἱ αἰτὶ οὐδὲν μίαν ὕδατι ἐν τῇ οἰκείᾳ θυσίᾳ χρῆσθαι, ἀπασκυλάζων οὕτως ὁ θεοφόρος ἀνὴρ τὸν παράνομον τοῖς αἱρέσεως διδαχῶν, καὶ δῆλον ὡς ἐξ αἰτίας τὸν ἀποστολικῆς ἔστιν παραδόσεως, τὸν εἰρημένον κατεσκύασε λόγον· ἐπεὶ καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, ἐν τῷ ποιμαντικὴν ἐκεχειρίαν ἡ γε μενῶν, ὕδωρ οἴνῳ μιγνύειν αἱ παρέδοσαν, ἡνίκα τὸν αἱματικὸν θυσίαν ἐπιτελεῖσθαι δεήσῃ, τὸν ἐκ τῆς θείας πλευρᾶς καὶ αἱμίας τὸν λυτρωτοῦ ἡμῶν καὶ σωτῆρος χριστοῦ τοῦ θεοῦ ἐξ αἵματος καὶ ὕδατος κρᾶσιν παραδεξάμενοι, ἥτις εἰς ζωοποίησιν πάντων τὸν κόσμον ἐξεχύθη, καὶ ἁμαρτιῶν ἀπολύτρωσιν. καὶ τὸν πάσης τῆς ἐκκλησίας, εἰ δὲ οἱ πνευματικοὶ φωστῆρες ἐξέλαμψαν, ἡ θεόδοτος αὕτη τάξις κρατεῖ· καὶ γὰρ καὶ Ἰάκωβος ὁ τοῦ κυρίου χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀδελφὸς, τὸν ἱεροσολυμιτῶν ἐκκλησίας πρῶτος τὸν θεόν ἐμπιστευθεὶς, καὶ Βασίλειος ὁ τῆς καισαρείας ἐπίσκοπος, οὗ ὁ κλέος τοῦ πάσαν τὴν οἰκουμένην διέδραμεν, ἐγγράφως τὴν μυστικὴν ἡμῶν ἱερουργίαν παραδεδωκότες, οὕτω τελοῦσιν ἐν τῇ θείᾳ λειτουργίᾳ ἐξ ὕδατος καὶ οἴνου ὁ ἱερὸν ποτήριον ἐκδεδώκασι. καὶ οἱ ἐν Καρθαγένῃ σύνοδον ἀθροίσαντες ὅσοι πατέρες, ὅτι τῶν ῥητῶς ἐπεμνήσθησαν, ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου παραδοθείη, ὡς καὶ αὐτὸς ὁ κύριος παρέδωκε, τοῦτ' ἔστιν ἄρτον καὶ οἶνον ὕδατι μεμιγμένον. εἴ τις οὖν ἐπίσκοπος, ἢ πρεσβύτερος, μὴ τοῦ παρεδοθεῖσαν ὑπὸ τῶν ἀποστόλων τάξιν ποιῇ, καὶ ὕδωρ οἴνῳ μιγνύῃ, ὅτι τὸν ἄχραντον παραδεξάμενοι, καθαιρείσθω, ὡς ἀτελῆ τὸ μυστήριον ἐξαγγέλλων, καὶ κατηγῶν τὰ παραδεδομένα.

ΤΟΥ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Πρόκλου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως περὶ παραδόσεως τῆς θείας λειτουργίας.

Πολλοὶ μὲν οὖν καὶ ἄλλοι τῶν τοῦ ἱεροῦ ἀποστόλου διαδεξαμένων θεῖοι ποιμένες καὶ διδάσκαλοι τῆς ἐκκλησίας, τὸν τῆς μυστικῆς λειτουργίας ἔκθεσιν ἐγγράφως καταλιπόντες, τῇ ἐκκλησίᾳ παραδεδώκασιν. ἐξ ὧν οἱ πρῶτοι οὗτοι καὶ διαπρύσιοι τυγχάνουσιν· ὅ, τε μακάριος Κλήμης, ὁ τοῦ κορυφαίου τῶν ἀποστόλων μαθητὴς καὶ διάδοχος, αὐτοῦ τοῦ ἱεροῦ ἀποστόλου ὑπαγορευσάντων· καὶ ὁ θεῖος Ἰάκωβος, ὁ τῆς ἱεροσολυμιτῶν ἐκκλησίας τὸν κλῆρον λαχών, καὶ ταύτης πρῶτος ἐπίσκοπος ὑπὸ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως χριστοῦ τοῦ θεοῦ ἡμῶν καταταθείς. ὁ δὲ μέγας Βασίλειος μὴ λαῦτα τὸ ῥάθυμον καὶ κατωφερὲς τῶν αἰθεφόντων θεωρῶν, καὶ διὰ τοῦτο τὸ τῆς λειτουργίας μῆκος ὀκνοῦντων, λαυτίμω τὸ πρεσβύτερον καὶ μακρὸν εἰ νομίζων, ἀλλὰ τὸ τῶν εὐθυμούντων τε καὶ ἀκροωμένων ῥάθυμον διὰ τὸ πολὺ τοῦ χρόνου παραλώμα ἐκκόπτων, ὅπερ μόγις ἐν πρέδωκε λέγεσθαι. μὴ τὸν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ σωτῆρος ἡμῶν, οἱ ἀπόστολοι, πρὸ τοῦ εἰς τὸν οἰκουμένην πᾶσαν διασπαρῆναι, ὁμοθυμαδὸν θυσιαζόμενοι, εἰς προσευχὰς πολυμερεῖς ἐτρέπουτο, καὶ τὸν τοῦ δεσποτικοῦ σώματος μυστικὴν ἱερουργίαν παραμύθιον εὑρηκότες, διεξοδικώτατα αὐτὸν ἥδον· τοῦτο γὰρ καὶ ὁ διδάσκων, πρώτων προσευχαῖς ἐρρώνυτο. πολλῷ δὲ μᾶλλον μετ' εὐφροσύνης καὶ πλείστης χαρᾶς ἦσαν προσκαρτεροῦντες τῇ τοιαύτῃ θείᾳ τελετῇ, ἀεὶ τοῦ κυριακοῦ μεμνημένοι λόγου, τοῦ τ' ἔστι τὸ σῶμά μου, λέγοντος· καὶ, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· καὶ, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. διὸ καὶ πνεύματι σύντονον μεμενῶ πολλὰς εὐχὰς ἔμελπον, τὸ θεῖον ἐκλιπαροῦντες. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἐξ ἰουδαίων τε ἐθνῶν νεοφωτίστους τοῖς τῆς χάριτος ἐνίζοντες, καὶ τὰ περὶ τὸν χάριτος παραλείπειν διδάσκοντες, σκιὰ τῆς χάριτος ὑπάρχοντες, εὐσεβῶς ἐπαιδαγώγουν. διὰ τοιούτων τοίνυν εὐχῶν τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος προσεδόκων, ὅπως τῇ αὐτοῦ θείᾳ παρουσίᾳ τὸν προκείμενον εἰς ἱερουργίαν ἄρτον καὶ οἶνον ὕδατι μεμιγμένον, αὐτὸ ἐκεῖνο τὸ σῶμα καὶ αἷμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ ἀποφήνῃ τε καὶ ἀναδείξῃ. ὅπερ οὐκ ἔλαττον καὶ μέχρι τοῦ νῦν γίνεται, καὶ μέχρι σύντελείας τοῦ αἰῶνος γενήσεται. ἀλλ' οἱ μετέπειτα τὸ σεβαστὸν καὶ θερμὸν τῆς πίστεως ἀποβαλόντες, ἐν ταῖς τοῦ κόσμου

προάξεσι καὶ φερόντεσι καταλυόμενοι, ὁ μῆκος, ὡς ἔφην εἰπών, τῆς λειτουργίας ὀκνοῦντες, μόλις ἐφοίτων εἰς τὴν θείαν ἀκρόασιν τῶν διακονικῶν ῥημάτων. διὸ καὶ ὁ θεῖος Βασίλειος θεραπευτικῇ τινὶ μεθόδῳ χρώμενος, ὀλιγομόνερον ταύτην ἀπαλλήλαξε. μετ' οὐ πολὺ δὲ πάλιν ὁ ἡμέτερος πατὴρ, ὁ τὴν γλῶτταν χρυσοῦς, Ἰωάννης, τῆς τῶν πρεσβάτων σωτηρίας οἷα ποιμὴν πρόθυμος κηδόμενος, εἷς τε τὴν τῆς ἀνθρωπίνης φύσεως ἀθυμίαν ἐφορᾶν, πρόρριζον πᾶσαν ἀτονίαν πρόφασιν ἠβουλήθη ἀπαυσάσθαι· διὸ καὶ τὰ πολλὰ ἐπέτεμε, καὶ σύντομώτερον τελεῖσθαι διετάξατο, ἵνα μὴ κατὰ μικρὸν οἱ ἀνάθεμοι ῥαθυμίαν τινὰ καὶ σχολὴν τὰ μάλιστα φιλοῦντες, τοῖς τῶν ἀντιπάλων ἀμφαλισμοῖς ἀξιαπατώμενοι, τῆς τοιαύτης ἀποσολικῆς καὶ θείας παραδόσεως ἀφιστῶνται, ὡς πολλοὶ πολλάκις πολλαχόσε τοῦτο διαπεπόνθασι καὶ μέχρι τῆς σήμερον ἐφωράθησαν.

Ἡ ΘΕΙΑ

Η ΘΕΊΑ ΛΕΙΤΟΥΡΓΊΑ ΤΟΥ ΆΓΊΟΥ ΆΠΟΣΤΌΛΟΥ ΚΑΊ ΆΔΕΛΦΟΘΈΟΥ ΊΑΚΩΒΟΥ.

ΕΝ πλήθει ἁμαρτιῶν μεμολυσμένον με μὴ ἐξουδενώσῃς δέσποτα κύριε ὁ θεὸς ἡμῶν· ἰδοὺ γὰρ προσῆλθον τῷ θείῳ σου τῷ ἐπουρανίῳ μυστηρίῳ σου· οὐχ ὡς ἄξιος ὑπάρχων, ἀλλ' εἰς τὴν σὴν ἀφορῶν ἀγαθότητα, ἀφίημί σοι τὴν φωνὴν, ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος ἀνυψῶσαι τὴν ἱερά σου ταύτην καὶ πνευματικὴν τραπέζαν, ἐφ' ἣ ὁ μονογενής σου υἱὸς καὶ κύριος ἡμῶν Ἰησοῦς χριστὸς, ἐμοὶ τῷ ἁμαρτωλῷ, καὶ πάσῃ κηλίδι κατεσιγμένῳ, μυστικῶς προκείται ἁς θυσίαν· διὸ ταύτην σοι τὴν ἱκεσίαν καὶ εὐχαριστίαν προσάγω, τὴν καταπεμφθῆναί μοι τὸ πνεῦμά σου τὸ παράκλητον ἐνισχύον καὶ καταρτίζον με πρὸς τὴν λειτουργίαν ταύτην, καὶ τὴν παρά σοῦ μοι τῷ λαῷ ἐπαιτηθεῖσαν φωνὴν, ἀκατακρίτως ταύτην ἀποφθέγξασθαι καταξίωσον, ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ καὶ ὁμοουσίῳ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΥΧΗ ΤΗΣ ΓΑΡΑΣΤΑΣΕΩΣ.

ΔΟΞΑ τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, τῷ τριαδικῷ καὶ ἑνιαίῳ φωτὶ τῆς θεότητος, τῆς ἐν τριάδι μοναδικῶς ὑφεστώσης, καὶ διαιρουμένης ἀδιαιρέτως· τριὰς γὰρ εἷς θεὸς παντοκράτωρ, ᾧ τὴν δόξαν οἱ ἐφανοὶ διηγοῦνται· ἡ γῆ, τὴν αὐτοῦ δεσποτείαν· καὶ ἡ θάλασσα, τὸ αὐτοῦ κράτος· καὶ πᾶσα αἰσθητὴ καὶ νοητὴ κτίσις, τὴν αὐτοῦ μεγαλειότητα κηρύττει πάντοτε· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΥΧΗ ΤΟΥ ΘΥΜΙΑΜΑΤΟΣ ΤΗΣ εἰσόδου τῆς ἐναρξεως.

ΔΕσποτα κύριε Ἰησοῦ χριστὲ, ὦ θεοῦ λόγε, ὁ ἑκουσίως ἑαυτὸν θυσίαν ἄμωμον ὑπὲρ σαυροῦ τῷ θεῷ καὶ πατρὶ προσαγαγών, ὁ δι' φυὴς ἄνθραξ, ὁ τῇ λαβίδι τοῦ προφήτου χαλέων ἀφόμενος, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀφελόμενος, ἄψαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τῶν αἰσθήσεων, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ παρέστησον ἡμᾶς ἀγνοὺς τῷ ἁγίῳ σου θυσιαστηρίῳ τοῦ προσενέγκαι σοι θυσίαν αἰνέσεως· καὶ πρόσδεξαι ἀφ' ἡμῶν τῶν ἀχρείων δούλων σου τὸ πρὸν θυμίαμα, εἰς ὀσμὴν εὐωδίας· καὶ εὐωδίασον ἡμῶν τὸ δυσῶδες τῆς ψυχῆς καὶ τοῦ σώματος· καὶ ἁγίασον ἡμᾶς τῇ ἁγιαστικῇ δυνάμει τοῦ παναγίου σου πνεύματος· σὺ γὰρ εἶ μόνος ἅγιος, ὁ ἁγιάζων καὶ τοῖς πιστοῖς μεταδιδόμενος· καὶ πρέπει σοι ἡ δόξα σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΥΧΗ ΤΗΣ ΕΝΑΡΞΕΩΣ.

ΕΥεργέτα βασιλεῦ τῶν αἰώνων, καὶ τῆς κτίσεως ἁπάσης δημιουργὲ, πρόσδεξαι προσιούσαν σοι διὰ τοῦ χρι-

τοῦ σου τῷ ἐκκλησίᾳ σου· ἑκάστῳ τὸ συμφέρον ἐκπλήρωσον· ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι τῆς χάριτος τοῦ ἁγιασμοῦ σου, ἵνα πιστεύσαντες ἡμᾶς ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, ἵνα δοξολογήσωμεν σὲ τὸν ἀΐδιον Πατέρα καὶ τὸν μονογενῆ σου υἱόν, κύριον δὲ καὶ σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐπὶ τοῦ κυρίου δεηθῶμεν.

Ο ΙΕΡΕΥΣ, ΕΥΧΗΝ ΤΟΥ ΘΥΜΙΑΜΑΤΟΣ ΤΗΣ ΕΙΣΟΔΟΥ ΤΗΣ ΘΕΙΟΥ ΑΞΕΩΣ.

Ο Θεὸς ὁ προσδεξάμενος Ἄβελ τὰ δῶρα, Νῶε καὶ Ἀβραὰμ τὴν θυσίαν, Ἀαρὼν καὶ Ζαχαρίου τὸ θυμίαμα, προσδέξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα, προσδέξαι καὶ ἐκ χειρὸς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο εἰς ὀσμὴν εὐωδίας καὶ ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου, ὅτι εὐλογημένος ὑπάρχεις, καὶ σοὶ πρέπει δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί.

Ο ΔΙΑΚΟΝΟΣ.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ ΕΠΕΥΧΕΤΑΙ ΑΥΤΩ.

Ο Κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ὁ δι' ὑπερβολὴν ἀγαθότητος καὶ ἀκατάληπτον ἔρωτα σταυρωθεὶς, καὶ λόγχῃ καὶ ἥλοις προσηλωθῆναι μὴ ἀπαυδήσας· ὁ τὴν κρυφίαν καὶ ἀπόφορον ταύτην τελετὴν, εἰς ἀνάμνησιν αἰωνίαν ἡμῖν ἐκτενῆ παραδόμενος, εὐλογήσαι τὴν ἐν χριστῷ τῷ θεῷ διακονίαν σου, καὶ εὐλογήσαι τὸ ἄσοδον ἡμῶν, καὶ ἐντελῶς τελειῶσαι τὸν παράστασιν τῆς λειτουργίας ἡμῶν

ταύτης, τῇ ἀφάτῳ αὐτοῦ εὐσπλαγχνίᾳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΥΧΗ ΑΠΟΚΡΙΤΙΚΗ ΓΑΡΑ

Τοῦ Ψάλτου.

Ο Κύριος εὐλογήσαι καὶ ἀξιώσαι ἡμᾶς σεραφικῶς δωροφορῆσαι καὶ προσάξαι τὴν πολυύμνητον ᾠδὴν τοῦ ἐνθεαστικοῦ Τρισαγίου, ἵνα δυνδεῖ καὶ ὑπερπλήρει πάσης τῆς ἁγιαστικῆς τελειότητος, νῦν καὶ ἀεί.

ΕΙΤΑ ΑΡΧΕΤΑΙ ΑΔΕΙΝ Ο

Ψάλτης ἐν τῇ εἰσόδῳ.

Ο μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε χρηστὲ ὁ θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας τριάδος, συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, σῶσον ἡμᾶς.

Ο ΙΕΡΕΥΣ ΛΕΓΕΙ ΤΗΝ ΕΥΧΗΝ

Ταύτην ἀπὸ τῆς πύλης ἕως τοῦ θυσιαστηρίου.

Ο θεὸς ὁ παντοκράτωρ, ὁ μεγαλώνυμος κύριος, ὁ δοὺς ἡμῖν εἴσοδον εἰς τὰ ἅγια τῶν ἁγίων, διὰ τῆς ἐπιδημίας τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἐπειδὴ ἔμφοβοι καὶ ἔνθρυοι ἐσμεν, μελλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, ἐξαπόστειλον ἐφ' ἡμᾶς ὁ θεὸς τὴν χάριν σου τὴν ἀγαθήν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον τὰ φρονήματα ἡμῶν πρὸς εὐσέβειαν, ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι δῶρα, δόματα, καρπώματα, εἰς ἀθέτησιν τῶν ἡμετέρων πλημμελημάτων, καὶ εἰς ἱλασμὸν παντὸς τοῦ λαοῦ σου, χάριν καὶ οἰκτιρμοῖς καὶ

φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΜΕΤΑ ΤΟ ΕΙΣΕΛΘΕΙΝ ΕΙΣ ΤΟ θυσιαστήριον λέγει ὁ ἱερεύς.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΙΕΡΕΥΣ.

Ο κύριος εὐλογήσαι πάντας ἡμᾶς, καὶ ἁγιάσαι ἐπὶ τῇ εἰσόδῳ καὶ ἱερουργίᾳ τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς εὐαπαύσων μετὰ ἁγίων καὶ δικαίων, τῇ ἀεὶ χάριτι καὶ φιλανθρωπίᾳ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΙΤΑ ΛΕΓΕΙ Ο ΔΙΑΚΟΝΟΣ ΣΥΝΑΠΤΩΝ.

Εν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τοῦ ἄνωθεν εἰρήνης καὶ θεοῦ φιλανθρωπίας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν καὶ συγχωρήσεως τῶν πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, καὶ ἐπανασάσεως ἐχθρῶν, τοῦ κυρίου δεηθῶμεν.

ΕΙΤΑ ΟΙ ΨΑΛΤΑΙ ΤΟΝ ΤΡΙΣΑΓΙΟΝ ψάλλουσιν ὕμνον.

Αγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

ΚΑΙ Ο ΙΕΡΕΥΣ ΕΓΕΥΧΕΤΑΙ ὑπακούων.

Οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμε καὶ πολυέλεε καὶ

ἀληθινὲ κύριε, ἐπίβλεψον ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ἐπάκουσον ἡμῶν τῶν σῶν ἱκετῶν, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ διαβολικοῦ τε καὶ ἀνθρωπίνου, καὶ μὴ ἀποστήσῃς ἀφ' ἡμῶν τὴν σὴν βοήθειαν· μηδὲ βαρυτέρας τῆς ἡμετέρας δυνάμεως παιδείας ἐπαγάγῃς ἡμῖν· ἡμεῖς γὰρ οὐχ ἱκανοὶ πρὸς τὸ νικᾶν τὰ ἀντιπίπτοντα· σὺ δὲ δυνατὸς εἶ κύριε εἰς τὸ σώζειν ἐκ πάντων τῶν ἐναντιωμάτων· σῶσον ἡμᾶς ὁ θεὸς ἐκ τῶν δυσχερῶν τοῦ κόσμου τούτου καὶ τὴν χρηστότητά σου, ὅπως εἰσελθόντες ἐν καθαρᾷ συνειδήσει πρὸς τὸ ἅγιόν σου θυσιαστήριον, τὸν μακάριον καὶ τελεσάγιον ὕμνον σὺν ταῖς ἐπουρανίαις δυνάμεσιν, ἀκατακρίτως ἀναπέμπωμέν σοι· καὶ τὴν εὐάρεστόν σοι καὶ θέαν ἐπιτελέσαντες λειτουργίαν, καταξιωθῶμεν τῆς αἰωνίου ζωῆς.

ΕΚΦΩΝΗΣΙΣ.

Ὅτι ἅγιος εἶ κύριε ὁ θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις κατοικεῖς καὶ ἐπαναπαύῃ, σοὶ τὴν δόξαν καὶ τὸν τελεσάγιον ὕμνον ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

ΟΙ ΨΑΛΤΑΙ.

Ἀλληλουΐα.

ΕΙΤΑ ΑΝΑΓΙΝΩΣΚΕΤΑΙ ΔΙΕΞΟδικώτατα τὰ ἱερὰ λόγια τῆς παλαιᾶς διαθήκης καὶ τῶν προφητῶν, καὶ ἀποδείκνυται ἡ τοῦ υἱοῦ τοῦ θεοῦ ἐναν θρώπησις, τά τε πάθη καὶ ἡ ἐκ νεκρῶν ἀνάστασις, ἡ εἰς τοὺς οὐρανοὺς ἄνοδος, καὶ πάλιν ἡ δευτέρα αὐτοῦ

μετ'

μετὰ δόξης προσοχία. καὶ τοῦτο γίνεται καθ' ἑκάστην εἰς τὴν ἱερὰν καὶ θείαν ἱεροῦργίαν. μετὰ δὲ τὸ ἀναγνῶναι καὶ διδάξαι, λέγει ὁ Ἱερέυς.

Εἴπωμεν πάντες, κύριε ἐλέησον· κύριε παντοκράτορ ὁ θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου ἐπάκουσον. ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ σωτηρίας καὶ ἀνταλήψεως παντὸς τοῦ φιλοχρίστου λαοῦ, δεόμεθά σου ἐπάκουσον. ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, αἰχμαλωσίας, πικροῦ θανάτου, τῶν ἀνομιῶν ἡμῶν, δεόμεθά σου ἐπάκουσον. ὑπὲρ τοῦ εὐδιεσώτου λαοῦ καὶ ἀπεκδεχομένου παρὰ σοῦ πλούσιον τὸ μέγα ἔλεος, ἱκετεύομέν σε σπλαγχνίσθητι καὶ σῴζεον. σῶσον ὁ θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. ἐπίσκεψαι τὸν κόσμον σου τῇ χάριτι καὶ οἰκτιρμοῖς. ὕψωσον κέρας χριστιανῶν τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. ἱκετεύομέν σε πολυέλεε κύριε, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ σῴζεον.

Ο ΛΑΟΣ.

Κύριε ἐλέησον. Εκ τρίτου.

Ο ΔΙΑΚΟΝΟΣ.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν ἡμῶν καὶ συγχωρήσεως πλημμελημάτων, καὶ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον οἱ πάντες παρὰ τοῦ κυρίου διηθῆν αἰτησώμεθα. ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα. συγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, πα-

περὶ τοῦ κυρίου αἰτησώμεθα. Τὰ καλὰ καὶ συμφέροντα τῆς ψυχαῖς ἡμῶν, καὶ εἰρηνεύειν τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ ὑγείᾳ ἐκτελέσαι, παρὰ τοῦ κυρίου αἰτησώμεθα. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ καὶ φρικτοῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Ο ΙΕΡΕΥΣ.

ΣΥ γὰρ εἶ ὁ εὐαγγελισμὸς καὶ ὁ φωτισμὸς, σωτὴρ καὶ φύλαξ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ θεὸς καὶ ὁ μονογενής σου υἱὸς, καὶ τὸ πνεῦμά σου τὸ παράκλητον, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων σὺν δικαίων, μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο ΛΑΟΣ.

Σοὶ κύριε.

Ο ΙΕΡΕΥΣ.

Ο ἐνηχήσας ἡμᾶς θεὸς τὰ θεῖά σου λόγια καὶ σωτήρια, φώτισον τὰς ψυχὰς ἡμῶν τῶν ἀμφιπολούντας τὴν θεολεχθέντων κατάληψιν, ὡς μὴ μόνον ἀκροατὰς ὀφθῆναι τῶν πνευματικῶν ἀσμάτων, ἀλλὰ καὶ ποιητὰς πράξεων ἀγαθῶν, πίστιν μετερχομένους ἀνύπουλον, βίον ἄμεμπτον, πολιτείαν ἀνέγκλητον.

ΕΚΦΩΝΗΣΙΣ.

ΕΝ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΛΑΟΣ.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνωμεν.

Ο ΛΑΟΣ.

Σοὶ κύριε.

Ο ΙΕΡΕΥΣ ΕΥΧΕΤΑΙ ΛΕΓΩΝ.

Δέσποτα ζωοποιὲ καὶ τῶν ἀγαθῶν χορηγὲ, ὁ δοὺς σοῖς θεοφόροις τοῦ μακαρίου ἐλπίδα τῆς αἰωνίου ζωῆς, τὸ κύριον ἡμῶν Ἰησοῦ χρηστὸν, καταξίωσον ἡμᾶς ἐν ἁγιασμῷ καὶ ταύτην σοι τοῦ θείου θυσιαστηρίου λειτουργοῦντας, εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος.

ΕΚΦΩΝΗΣΙΣ.

Ὅπως ὑπὸ τὸ κράτος σου πάντοτε φυλασσόμενοι, καὶ εἰς φῶς ἀληθείας ὁδηγούμενοι, σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπωμεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΔΙΑΚΟΝΟΣ.

Μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀμυήτων, μή τις τῶν μὴ δυναμένων ἡμῖν σὺν δεήσει συναγωνίζεσθαι. ἀλλήλοις ἐπίγνωτε. τὰς θύρας. ὀρθοὶ πάντες. Ἔτι τῶν κυρίῳ δεηθῶμεν.

Ο ΙΕΡΕΥΣ, ΕΥΧΗΝ ΤΟΥ ΘΥΜΙΑΜΑΤΟΣ.

Δέσποτα παντοκράτορ, βασιλεῦ τῆς δόξης, ὁ θεὸς ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, αὐτὸς παρέσον ἡμῖν

ἐν τῇ ἁγίᾳ ὥρᾳ ταύτῃ ἐπικαλουμένοις σε· καὶ λύτρωσαι ἡμᾶς ἀπὸ ἀιχμῆς παραπτωμάτων. κάθαρον ἡμῶν τὸν νοῦν καὶ τὰ φρονήματα ἀπὸ μιαρῶν ἐπιθυμιῶν καὶ κοσμικῆς ἀπάτης, καὶ πάσης διαβολικῆς ἐνεργείας· καὶ πρόσδεξαι ἐκ χαρᾶς ἡμῶν τῶν ἁμαρτωλῶν τὸ θυμίαμα τοῦτο, ὡς προσεδέξω τὸν Ἄβελ καὶ Νῶε, καὶ Ἀαρὼν καὶ Σαμουὴλ, καὶ πάντων σου τῶν ἁγίων, ῥυόμενος ἡμᾶς ἀπὸ παντὸς πονηροῦ πράγματος, καὶ σώζων εἰς τὸ πάντοτε εὐαρεστεῖν σε προσκυνεῖν καὶ δοξάζειν σε τὸν πατέρα καὶ τὸν μονογενῆ σου υἱόν, καὶ τὸ πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΚΑΙ ΑΡΧΟΝΤΑΙ ΟΙ ΑΝΑγνῶσται τοῦ χερουβικοῦ.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων. χριστὸς ὁ θεὸς ἡμῶν, προέρχεται σφαγιασθῆναι καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς. προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον· ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ο ΙΕΡΕΥΣ ΕΙΣΑΓΩΝ ΤΑ ΑΓΙΑδῶρα, λέγει τοῦ βήματος.

Ο Θεὸς ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τοῦ ζῆν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν προθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπουράνιόν σου θυσιαστήριον. μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσε-

νεκαίντων, καὶ δι' οὗς ἠξιώσαν· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ λειτουργίᾳ τῶν θείων σου μυστηρίων, ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπές ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΔΙΑΚΟΝΟΣ.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ.

Εὐλογητὸς ὁ θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς ἐπὶ τῇ προθέσει τῶν θείων καὶ ἀχράντων μυστηρίων, καὶ τὰς μακαρίας ψυχὰς διὰ παντὸς μετὰ ἁγίων καὶ δικαίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΔΙΑΚΟΝΟΣ.

Εν σοφίᾳ προσχῶμεν.

ΑΡΧΕΤΑΙ Ο ΙΕΡΕΥΣ.

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ. καὶ τὰ ἑξῆς τοῦ συμβόλου τῆς πίστεως.

ΕΠΕΙΤΑ ΕΠΕΥΧΕΤΑΙ ΚΛΙΝΑΣ τὸν αὐχένα.

Ο πάντων θεὸς καὶ δεσπότης ἀξίους ἡμᾶς ἀπέργασαι τῆς ὥρας ταύτης τοὺς διὰ ἀξίους φιλανθρόπε· ἵνα καθαρεύοντες παντὸς δόλου καὶ πάσης ὑποκρίσεως, ἑνωθῶμεν ἀλλήλοις τῷ τῆς εἰρήνης καὶ τῆς ἀγάπης σύνδεσμῳ, βεβαιούμενοι τῷ τῆς θεογνωσίας ἁγιασμῷ, διὰ τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ο ΔΙΑΚΟΝΟΣ.

Σταθῶμεν καλῶς, σταθῶμεν εὐλαβῶς, σταθῶμεν μετὰ φόβου θεοῦ καὶ κατανύξεως. Εν εἰρήνῃ τὸν κύριον δεηθῶμεν.

Ο ΙΕΡΕΥΣ.

Ὅτι θεὸς εἰρήνης, ἐλέους, ἀγάπης, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις σὺ, καὶ ὁ μονογενής σου υἱὸς, καὶ τὸ πνεῦμά σου τὸ πανάγιον, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ. Ἀμήν.

Ο ΙΕΡΕΥΣ. Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἀγαπήσωμεν ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

Ο ΙΕΡΕΥΣ ΕΠΙΚΛΙΝΟΜΕΝΟΣ
λέγει τὴν εὐχὴν ταύτην.

Ὁ μόνος κύριος καὶ ἐλεήμων θεὸς, τοῖς κλίνουσι τοὺς ἑαυτῶν αὐχένας ἐνώπιον τοῦ ἁγίου θυσιαστηρίου, καὶ ἐπιζητοῦσι τὰς παρὰ σοῦ πνευματικὰς δωρεὰς, ἐξαπόστειλον τὴν χάριν σου τὴν ἀγαθὴν, καὶ εὐλόγησον πάντας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ καὶ διαφαιρέτῳ, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ ταπεινὰ ἐφορῶν.

ΕΚΦΩΝΗΣΙΣ.

Ὅτι αἰνετὸν καὶ προσκυνητὸν καὶ ὑπέρδοξον ὑπάρχει τὸ πανάγιον ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΔΙΑΚΟΝΟΣ. Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ.

Ὁ κύριος εὐλογήσει καὶ σῴσει διακονήσει πᾶσιν ἡμῖν τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ.

ΚΑΙ ΠΑΛΙΝ.

ΚΑΙ ΓΑΛΙΝ.

Ὁ κύριος εὐλογήσῃ, καὶ ἀξίους ποιήσῃ τῆς παρεστάσεως τοῦ ἁγίου θυσιαστηρίου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΚΑΙ ΓΑΛΙΝ.

Εὐλογητὸς ὁ θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς ἐπὶ τῇ παραστάσει καὶ ἱερουργίᾳ τῶν ἀχράντων ἀναιμάκτων μυστηρίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ ΠΟΙΕΙ ΚΑθολικὴν συναπτήν.

Εν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο ΛΑΟΣ.

Κύριε ἐλέησον.

Ο ΔΙΑΚΟΝΟΣ.

Σῶσον, ἐλέησον, οἰκτείρησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. ὑπὲρ τοῦ δοθῆναι εἰρήνης καὶ θεοῦ φιλανθρωπίας, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, μεμνημένων τῶν πενήτων, χηρῶν καὶ ὀρφανῶν, ξένων καὶ ὀπιδεομένων, καὶ τῶν ἐντειλαμένων ἡμῖν ὥστε μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῶν ἐν γήρᾳ καὶ ἀδυναμίᾳ ὄντων, νοσούντων, καμνόντων, καὶ τῶν ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ τοῦ θεοῦ ταχείας ἰάσεως καὶ σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῶν ἐν πλάνῃ καὶ ἀγνοίᾳ καὶ ἀσκήσει καὶ ἐν σεμνῷ γάμῳ διαγόντων, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀγωνιζομένων ὁσίων πατέρων τε καὶ ἀδελφῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων, χειμα-

νῶν, καὶ τῶν ἐν αἰχμαλωσίαις, καὶ ἐξορίαις, καὶ ἐν φυλακαῖς, καὶ πικραῖς δουλείαις ὄντων ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπανόδου αὐτῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως πλημμελημάτων ἡμῶν, καὶ ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐχθρῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, τελείας εὐετηρίας, καὶ ὑπὲρ τοῦ στεφανοῦντος τὸν ἐνιαυτοῦ, τοῦ κυρίου δεηθῶμεν.

ὑπὲρ τῶν πενθούντων καὶ σπουδαζομένων ἡμῖν ἐν ταύτῃ τῇ ἁγίᾳ ὥρᾳ, καὶ ἐν παντὶ καιρῷ, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, ἀπουσίας, καμάτου, καὶ πενθυμίας αὐλῶν, τοῦ κυρίου δεηθῶμεν. καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ὑγείας, καὶ βοηθείας θεοῦ ἐπιδεομένης, καὶ ἐπισκοφῆς τῶν πεπλανημένων, ὑγείας τῶν ἀσθενούντων, καὶ λύτρωσεως τῶν αἰχμαλώτων, ἀναπαύσεως τῶν πεκοιμημένων, πατέρων τε καὶ ἀδελφῶν, τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τοῦ εἰσακουσθῆναι καὶ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν ἐνώπιον τοῦ θεοῦ, καὶ τοῦ καταπεμφθῆναι ἡμῖν πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, τοῦ κυρίου δεηθῶμεν. Τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν. καὶ ὑπὲρ τῶν πεκειμένων λιμίων, ἐπουρανίων, ἀῤῥήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων, καὶ σωτηρίας τοῦ παρεστῶτος καὶ προσφέροντος αὐτὰ ἱερέως, κύριον τὸν θεὸν ἱκετεύσωμεν.

Ο ΛΑΟΣ.

Κύριε ἐλέησον. ὁκ πείτου.

ΕΙΤΑ

ΕΙΤΑ ΣΦΡΑΓΙΖΕΙ ΤΑ ΔΩΡΑ
διάκονος λέγει καθ' ἑαυτὸν οὕτως.

Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ὀκ τρίτον.

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμά σου ἀναγγελεῖ τὴν αἴνεσίν σου. ὀκ τρίτον.

Πληρωθήτω τὸ στόμά μου αἰνέσεώς σου κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. ὀκ τρίτον.

Τοῦ παντὸς Ἀμήν. Καὶ τοῦ υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου πνεύματος. Ἀμήν. Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΙ ΕΠΙΚΑΙΝΟΜΕΝΟΣ ΕΝ-
θεν καὶ ἔνθεν λέγει.

Μεγαλύνατε τὸν κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

ΚΑΙ ΑΠΟΚΡΙΝΟΝΤΑΙ.

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι.

ΕΙΤΑ Ο ΙΕΡΕΥΣ ΔΙΕΞΟΔΙΚΩΣ.

Ο ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς δέσποτα κύριε, καὶ χαρισάμενος παρρησίαν ἡμῖν τοῖς ταπεινοῖς καὶ ἀναξίοις δούλοις σου, παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ τοῦτο φέρειν σοὶ τὴν πρέπουσαν θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἐπίβλεψον ἐπὶ ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σου, καὶ ἐξάλειψον τὰ πταίσματα διὰ τὴν σὴν εὐσπλαγχνίαν· καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ ἀπόστησον ἀπ' ἐμοῦ πάντα λογισμὸν

αἰχμόν τε καὶ ἀσώτευτον· καὶ ἱκανώσόν με τῇ δυνάμει τοῦ πα-
ναγίου σου πνεύματος εἰς τὸν λειτουργίαν ταύτην. καὶ
προσδέξαί με διὰ τὴν ἀγαθότητά σου, προσεγγίζοντα
τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ εὐδόκησον κύριε δεκλαγε-
νέσθαι τὰ προσαγόμενα ταῦτα δῶρα διὰ τοῦ ἡμετέ-
ρου χαρακτῆρος, συγκαταβαίνων ταῖς ἐμαῖς ἀδυναμίαις, καὶ μὴ
ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, μηδὲ βδελύξῃ τὴν
ἐμὴν ἀναξιότητα· ἀλλ' ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου,
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου πρόσενεγκε τὰ ἀνομή-
ματά μου· ἵνα ἀκατακρίτως προσελθὼν κατενώπιον τῆς
δόξης σου, καταξιωθῶ τῆς σκέπης τοῦ μονογενοῦς σου υἱοῦ,
καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου πνεύματος, καὶ μὴ ὡς
δοῦλος ἁμαρτίας ἀποδοκιμος γενώμαι, ἀλλ' ὡς δοῦλος
σὸς εὑρεθεῖν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν ἐνώπιόν
σου; καὶ ἐν τῷ νυνὶ καὶ ἐν τῷ μελλοντι αἰῶνι. ναὶ δέσποτα
παντοκράτορ, παντοδυνάμε κύριε, εἰσάκουσον τῆς δεή-
σεώς μου· σὺ γὰρ εἶ ὁ τὰ πάντα ἐνεργῶν ἐν πᾶσι, καὶ τὸν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοηθόν τε καὶ ἀντί-
λημψιν, καὶ τοῦ μονογενοῦς σου υἱοῦ, καὶ τοῦ ἀγαθοῦ καὶ ζωο-
ποιοῦ καὶ ὁμοουσίου πνεύματος, νυνὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο θεὸς ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν ἐξα-
πεστείλας τὸν μονογενῆ σου υἱὸν εἰς τὸν κόσμον, ἵνα τὸ πε-
πλανημένον ἐπαναστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς
ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐξαιρούμενοι σου τῇ φοβερᾷ ταύτῃ
καὶ ἀναιμάκτῳ θυσίᾳ· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν
πεποιθότες ἐσμέν, ἀλλ' ἐπὶ τῷ ἐλέει σου τῷ ἀγαθῷ, δι' οὗ
τὸ γένος ἡμῶν ἐπεποίηται· ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν
σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ
σου τὸ οἰκονομηθὲν ἡμῖν τὸ προσωπεῖόν μυστήριον,
ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν, εἰς ἀνανέωσιν ψυχῶν καὶ σω-

μάτων

μάτων, εἰς εὐαρέστησίν σου τοῦ θεοῦ καὶ πατρός, ἐν ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Κύριε ὁ θεὸς ὁ κλίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν τὰ ἐπουράνια μυστήρια ἀποκαλύψιν, καὶ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ παναγίου σου πνεύματος, εὐδόκησον δέσποτα γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἀχράντων σου μυστηρίων καὶ προσδέξαι ἡμᾶς προσερχόμενοι τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. καὶ δὸς ἡμῖν κύριε μετὰ πάντος φόβου καὶ εὐπειθήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπουράνιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου πνεύματος. καὶ ὁ θεὸς ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτὴν ὡς προσδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Δαβὶδ τὴν μετάνοιαν, Ζαχαρίου τὸ θυμίαμα· ὡς προσδέξω ἐκ χειρὸς τῶν ἀποστόλων σου τὴν ἀληθινὴν ταύτην λατρείαν· οὕτω πρόσδεξαι καὶ ἐκ χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου· καὶ δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐπρόσδεκτον, ἡγιασμένην ἐν πνεύματι ἁγίῳ, εἰς ἐξίλασμα τῶν ἡμετέρων πλημμελημάτων καὶ τῶν τοῦ λαοῦ

ἀγνοημάτων, καὶ ἐν ἀναπαύσει τῶν προκεκοιμημένων, ψυχῶν· ἵνα καὶ ἡμεῖς οἱ ταπεινοὶ καὶ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καταξιωθέντες ἀδόλως λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, λάβωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, καὶ εὕρωμεν χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας καὶ ἀγαθῆς.

ΕΥΧΗ ΤΟΥ ΚΑΤΑΠΕΤΑΣΜΑΤΟΣ.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ἡμῶν, ὅτι ἔδωκας ἡμῖν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων σου· ἣν ἀνεκαίνισας ἡμῖν ὁδὸν προσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς τοῦ χριστοῦ σου. καταξιωθέντες οὖν εἰσελθεῖν εἰς τόπον σκηνώματος δόξης σου, ἔσω τε γενέσθαι τοῦ καταπετάσματος, καὶ τὰ ἅγια τῶν ἁγίων κατοπτεύσαι, προσπίπτομεν τῇ σῇ ἀγαθότητι· δέσποτα βοήθησον ἡμᾶς· ἐπειδὴ ἔμφοβοι καὶ ἐν δόξῃ ἐσμεν, μελλοντες παρεστάναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσφέρειν τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἐξαπόστειλον ὁ θεὸς τὴν χάριν σου τὴν ἀγαθήν, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ τὰ πνεύματα, καὶ ἀλλοίωσον ἡμῶν τὰ φρονήματα πρὸς εὐσέβειαν· ἵνα ἐν καθαρῷ συνειδότι προσφέρωμέν σοι ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως.

ΕΚΦΩΝΗΣΙΣ.

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΔΙΑΚΟΝΟΣ.

Σταθῶμεν καλῶς, σταθῶμεν εὐλαβῶς, σταθῶμεν μετὰ φόβου θεοῦ καὶ κατανύξεως· προσέχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ, εἰρήνην τῷ θεῷ προσφέρειν.

Ο ΛΑΟΣ.

Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ο ΙΕΡΕΥΣ.

Καὶ τὰ προκείμενα τῇ ἱερᾷ ταύτῃ τελετῇ συμβολικῶς ἀμφιάσματα τῶν αἰνιγμάτων ἀνακαλύψας, πλουσίως ἡμῖν ἀνάδειξον· τοὺς νοεροὺς ἡμῶν ὀφθαλμοὺς τοῦ ἀποκρύφου φωτὸς πλήρωσον· καθαρὸν τὸν πλοῦτον ἡμῖν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἄξιον ἀπεργασαμένος τῆς φοβερᾶς ταύτης καὶ φρικτῆς προσεύχεσθαι· ὅτι ὑπερεύσπλαγχνος καὶ ἐλεήμων θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΕΙΤΑ ΕΚΦΩΝΕΙ.

Η ἀγάπη τοῦ κυρίου καὶ πατρὸς, ἡ χάρις τοῦ κυρίου καὶ θεοῦ, καὶ ἡ κοινωνία καὶ ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

Ο ΛΑΟΣ.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ο ΙΕΡΕΥΣ.

Ἄνω σχῶμεν τὸν νοῦν καὶ τὰς καρδίας.

Ο ΛΑΟΣ.

Ἄξιον καὶ δίκαιον.

ΕΙΤΑ ΕΠΕΥΧΕΤΑΙ Ο ΙΕΡΕΥΣ.

Ὡς ἀληθῶς ἄξιόν ἐστι καὶ δίκαιον, πρέπον τε καὶ ὀφειλό-

μενον, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξολογεῖν, τὸ δι' ἀχρείστεῖν τῷ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου δημιουργῷ, τῷ θησαυρῷ τῶν αἰωνίων ἀγαθῶν, τῇ πηγῇ τῆς ζωῆς & τῆς ἀθανασίας, τῷ παντων θεῷ καὶ δεσπότῃ· ὃν ὑμνοῦσιν οἱ οὐρανοὶ καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν, & πᾶσα ἡ δυνάμις αὐτῶν· ἥλιός τε καὶ σελήνη, καὶ πᾶς ὁ τῶν ἄστρων χορός· γῆ, θάλασσα, καὶ πάντα τὰ ἐν αὐτοῖς· Ἱερουσαλὴμ ἡ ἐπουράνιος πανήγυρις, ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς· πνεύματα δικαίων καὶ προφητῶν· ψυχαὶ μαρτύρων καὶ ἀποστόλων· ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί τε καὶ ἐξουσίαι καὶ δυνάμεις φοβεραί, καὶ τὰ χερουβὶμ πολυόμματα καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ, ἃ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτει τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα, κέκραγον ἕτερον πρὸς ἕτερον ἀκατάπαυστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις.

ΕΚΦΩΝΗΣΙΣ.

Τὸν ἐπινίκιον ὕμνον τῆς μεγαλοπρεποῦς σου δόξης λαμπρᾷ τῇ φωνῇ ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα καὶ λέγοντα.

Ο ΛΑΟΣ.

Ἅγιος, ἅγιος, ἅγιος, κύριε σαβαώθ. πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

Ο ΙΕΡΕΥΣ ΣΦΡΑΓΙΖΩΝ ΤΑ δῶρα, λέγει.

Ἅγιος εἶ βασιλεῦ τῶν αἰώνων καὶ πάσης ἁγιωσύνης κύριος καὶ δωτήρ· ἅγιος καὶ ὁ μονογενής σου υἱός, ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς, δι' οὗ τὰ πάντα ἐποίησας· ἅγιον δὲ καὶ τὸ πνεῦ

πνεῦμά σου τὸ ἅγιον τὸ ἐρευνῶν τὰ πάντα, καὶ τὰ βάθη σου τοῦ θεοῦ. ἅγιος εἶ παντοκράτορ, παντοδυνάμε, ἀγαθὲ, φοβερὲ, εὐσπλαγχνε, ὁ συμπαθὴς μάλιστα ἐπὶ τὸ πλάσμα σὸν· ὁ ποιήσας ἐκ γῆς ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν· ὁ χαρισάμενος αὐτῷ τὴν τοῦ παραδείσου ἀπόλαυσιν· παραδράμοντα δὲ τὴν ἐντολήν σου, καὶ ἐκπεσόντα, τοῦτον οὐ παρεῖδες, οὐδὲ ἐγκατέλιπες ἀγαθὲ, ἀλλ' ἐπαίδευσας αὐτὸν ὡς εὔσπλαγχνος πατὴρ, ἐκάλεσας αὐτὸν διὰ νόμου, ἐπαιδαγώγησας αὐτὸν διὰ τῶν προφητῶν· ὕστερον δὲ αὐτὸν τὸν μονογενῆ σου υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξαπέστειλας εἰς τὸν κόσμον, ἵνα ἐλθὼν, τὸν σὸν ἀνανεώσῃ καὶ ἀνεγείρῃ εἰκόνα· ὃς κατελθὼν ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθεὶς ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ θεοτόκου· σὺν ἀνάσταση φανεὶς τοῖς ἀνθρώποις, πάντα οἰκονόμησε πρὸς σωτηρίαν τὴν ἡμετέραν· μνήσων δὲ τὸν ἑκούσιον καὶ ζωοποιὸν διὰ σταυροῦ θάνατον ὁ ἀναμάρτητος ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν καταδέχεται, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

ΕΙΤΑ Ο ΙΕΡΕΥΣ ΤΗ ΧΕΙΡΙ
τὸν ἄρτον καταχῶν, λέγει.

Λαβὼν τὸν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων καὶ ἀθανάτων ἀμφοῖν χειρῶν, ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ δυάσας τῷ θεῷ καὶ πατρὶ, εὐχαριστήσας, ἁγιάσας, κλάσας, ἔδωκεν ἡμῖν τοῖς ἁγίοις μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

ΛΕΓΟΥΣΙΝ ΟΙ ΔΙΑΚΟΝΟΙ.

Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

ΕΙΤΑ ΕΚΦΩΝΕΙ.

Λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλω-

μενον καὶ διδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ο ΛΑΟΣ.

Ἀμήν.

ΕΙΤΑ ΛΑΜΒΑΝΕΙ ΤΟ ΓΟΤΗ-
ειον, καὶ λέγει.

Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν τὸ ποτήριον, καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἀναδείξας τῷ πατρὶ, εὐχαριστήσας, ἁγιάσας, εὐλογήσας, πλήσας πνεύματος ἁγίου, ἔδωκεν ἡμῖν τοῖς αὐτοῦ μαθηταῖς εἰπὼν, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστὶ τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἄχρις οὗ ἔλθῃ.

ΛΕΓΟΥΣΙΝ ΟΙ ΔΙΑΚΟΝΟΙ.

Πιστεύομεν καὶ ὁμολογοῦμεν.

Ο ΛΑΟΣ.

Τὸν θάνατόν σου κύριε καταγγέλλομεν καὶ τὴν ἀνάστασίν σου ὁμολογοῦμεν.

Ο ΙΕΡΕΥΣ.

Μεμνημένοι οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν τοῦ τοῦ θεοῦ καὶ

πατρὸς

πα ζῆς καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου Σ φοβερᾶς αὐτοῦ παρουσίας, ὅταν ἔλθῃ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, ὅταν μλῃῃ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομλύσοι δέσποτα τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, δεόμενοι ἵνα μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς μεθ' ἡμλῶν, μηδὲ κατὰ τὰς ἀνομίας ἡμλῶν ἀνταποδώσῃς ἡμῖν· ἀλλὰ κατὰ τὴν σὴν ἐπιείκειαν καὶ ἀφατόν σου φιλανθρωπίαν, ὑπερβὰς καὶ ἐξαλείψας τὸ καθ' ἡμλῶν χειρόγραφον τῶν σῶν ἱκετῶν, χαρίσῃ ἡμῖν τὰ ἐπουράνια καὶ αἰώνιά σου δωρήματα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας ὁ θεὸς τοῖς ἀγαπῶσί σε, καὶ μὴ δι' ἐμὲ καὶ διὰ τὰς ἐμὰς ἁμαρτίας ἀθετήσῃς τὸν λαὸν φιλάνθρωπε κύριε.

ΕΙΤΑ ΛΕΓΕΙ ΕΚ ΤΡΙΤΟΥ.

Ὁ γὰρ λαός σου καὶ ἡ ἐκκλησία σου ἱκετεύουσί σε.

Ο ΛΑΟΣ.

Ἐλέησον ἡμᾶς κύριε ὁ θεὸς, ὁ πατὴρ ὁ παντοκράτωρ.

ΓΑΛΙΝ ΛΕΓΕΙ Ο ΙΕΡΕΥΣ.

Ἐλέησον ἡμᾶς ὁ θεὸς ὁ παντοκράτωρ· ἐλέησον ἡμᾶς ὁ θεὸς ὁ σωτὴρ ἡμῶν· ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, τὸ πνεῦμά σου τὸ παράκλητον.

ΕΙΤΑ ΚΛΙΝΑΣ ΤΟΝ ΑΥΧΕΝΑ, λέγει.

Τὸ κύριον καὶ ζωοποιὸν, τὸ σεβάσμιον σὺν τῷ θεῷ καὶ πατρὶ, καὶ τῷ μονογενεῖ σου υἱῷ, τὸ συμβασιλεῦον, τὸ ὁμοούσιόν τε καὶ σεβάσιον· τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις, καὶ τῇ καινῇ σου διαθήκῃ· τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν χρισθὲν ἐν τῷ Ἰορδάνῃ ποταμῷ Σ μεῖναν ἐπ' αὐτόν· τὸ καταβὰν ἐπὶ τοὺς ἀποστόλοις σου ἐν εἴδει πυρίνων γλωσσῶν ἐν τῷ ὑπερῴῳ τῆς

ἁγίας καὶ ἐνδόξου Σιὼν, ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς· αὐτὸ τὸ πνεῦμά σου τὸ πανάγιον κατάπεμψον δέεσθαι ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα.

ΚΑΙ ΑΝΙΣΤΑΜΕΝΟΣ ΕΚΦΩΝΕΙ.

Ἵνα ἐπιφοιτήσαν τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ ποιήσῃ, τὸν μὲν ἄρτον τοῦτον, σῶμα ἅγιον τοῦ Χριστοῦ σου.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Καὶ τὸ ποτήριον τοῦτο, αἷμα τίμιον τοῦ Χριστοῦ σου.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ ΚΑΘ' ΕΑΥΤΟΝ,

ἱσάμενος.

Ἵνα γένηται πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς καρποφορίαν ἔργων ἀγαθῶν, εἰς σπερμὸν τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, εἰς ἐθεμελίωσας ἐπὶ τὴν πέτραν τῆς πίστεως, ἵνα πύλαι ἅδου μὴ κατισχύσωσιν αὐτῆς, ῥυόμενος αὐτὴν ἀπὸ πάσης αἱρέσεως καὶ σκανδάλων καὶ τῶν ἐργαζομένων τὴν ἀνομίαν, διαφυλάττων αὐτὴν μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

ΚΑΙ ΕΠΙΚΛΙΘΕΙΣ ΛΕΓΕΙ.

Προσφέρομέν σοι δέεσθαι καὶ ὑπὲρ τῶν ἁγίων σου τόπων, οὓς ἐδόξασας τῇ θεοφανείᾳ τοῦ Χριστοῦ σου, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου πνεύματος· προσηγόρευσε, ὑπὲρ τῆς ἐνδόξου Σιὼν τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν· καὶ ὑπὲρ τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς

ἐκ-

ἐκκλησίας, πλουσίας καὶ νῦν τὰς δωρεὰς τοῦ παναγίου σου πνεύματος, ἐπιχορήγησον αὐτῇ δέσποτα. μνήσθητι κύριε καὶ τῶν ἐν αὐτῇ ἁγίων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, καὶ ἐπισκόπων τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ ὀρθοδόξως ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι κύριε καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν ὀρθοδόξως πίστει οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν. Μνήσθητι κύριε πλεόντων, ὁδοιπορούντων, ξενιτευόντων χριστιανῶν, τῶν ἐν δεσμοῖς, τῶν ἐν φυλακαῖς, τῶν ἐν αἰχμαλωσίαις καὶ ἐξορείαις, τῶν ἐν μετάλλοις καὶ βασάνοις, καὶ πικραῖς δουλείαις ὄντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Μνήσθητι κύριε τῶν νοσούντων, καὶ καμνόντων, καὶ τῶν ἐκ πνευμάτων ἀκαθάρτων ἐνοχλουμένων, τῆς παρὰ σοῦ τοῦ θεοῦ ταχείας ἰάσεως αὐτῶν καὶ σωτηρίας. Μνήσθητι κύριε πάσης ψυχῆς χριστιανῆς θλιβομένης καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας σοῦ τοῦ θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων. Μνήσθητι κύριε τῶν κοπιώντων καὶ διακονούντων ἡμῖν πατέρων καὶ ἀδελφῶν ἡμῶν διὰ τὸ ὄνομά σου τὸ ἅγιον. Μνήσθητι κύριε πάντων εἰς ἀγαθόν· πάντας ἐλέησον δέσποτα· πᾶσιν ἡμῖν διαλλάγηθι· εἰρήνευσον τὰ πλήθη τοῦ λαοῦ σου· διασκέδασον τὰ σκάνδαλα· κατάργησον τοὺς πολέμους· παῦσον τὰς τῶν αἱρέσεων ἐπαναστάσεις· τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς. Μνήσθητι κύριε εὐκρασίας ἀέρων, ὄμβρων εἰρηνικῶν, δρόσων ἀγαθῶν, καρπῶν εὐφορίας, καὶ τοῦ στεφάνου τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σοῦ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Μνήσθητι

κύριε τῶν καρποφορούντων & καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις· καὶ μεμνημένων τῶν πενήτων, χηρῶν, ὀρφανῶν, ξένων, καὶ ἐπιδεομένων· & πάντων τῶν ἐντειλαμένων ἡμῖν τὸ μνημονεύειν αὐτῶν ἐν ταῖς προσευχαῖς. ἐπιμνησθῆναι καταξίωσον κύριε καὶ τῶν ταύτας προσφορὰς ταύτας προσενεγκάντων ἐν τῇ σήμερον ἡμέρᾳ ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον, & ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατὰ διάνοιαν ἔχει, καὶ τῶν ἀρτίως σοι διεγνωσμένων. μνήσθητι κύριε κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἀχρείου δούλου σου, καὶ τὸ ἅγιόν σου θυσιαστήριον κυκλοῦντων διακόνων· καὶ χάρισαι αὐτοῖς βίον ἄμεμπτον, ἄσπιλον αὐτῶν τὴν διακονίαν φύλαξον, καὶ βαθμοὺς ἀγαθοὺς περιποίησαι, ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων κατὰ γένεσιν καὶ γενεάν, προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, ὁσίων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τοῦ χριστοῦ σου τετελειωμένου.

Χαῖρε κεχαριτωμένη Μαρία· ὁ κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

ΕΙΤΑ ΕΚΦΩΝΕΙ Ο ΙΕΡΕΥΣ.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

ΟΙ ΨΑΛΤΑΙ.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ θεοῦ ἡμῶν, τὴν τιμιωτέραν τῶν χερουβὶμ, & ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφὶμ, τὴν ἀδιαφθόρως θεὸν λόγον τεκοῦ-

τεκοῦσαν, τὴν ὄντως θεοτόκον σὲ μεγαλύνομεν.

ΚΑΙ ΓΑΛΙΝ ΨΑΛΛΟΥΣΙΝ.

Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναέ, καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ οὗ θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

ΟΙ ΔΙΑΚΟΝΟΙ.

Μνήσθητι κύριε ὁ θεὸς ἡμῶν.

Ο ΙΕΡΕΥΣ ΕΠΙΚΑΙΝΟΜΕνος λέγει.

Μνήσθητι κύριε ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν, ὀρθοδόξων, ἀπὸ Ἄβελ τοῦ δικαίου μέχρι τῆς σήμερον ἡμέρας· αὐτὸς ἐκεῖ αὐτοὺς ἀνάπαυσον, ἐν χώρᾳ ζώντων, ἐν τῇ βασιλείᾳ σου, ἐν τῇ τρυφῇ τοῦ παραδείσου, ἐν τοῖς κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν ἁγίων πατέρων ἡμῶν· ὅθεν ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· ἔνθα ἐπιλάμπει τὸ φῶς τοῦ προσώπου σου, καὶ καταλάμπει διὰ παντός. ἡμῶν δὲ τὰ τέλη τῆς ζωῆς, χριστιανὰ καὶ εὐάρεστα, καὶ ἀναμάρτητα, ἐν εἰρήνῃ κατεύθυνον κύριε κύριε, ἐπισώρευσον ἡμᾶς ὑπὸ τοὺς πόδας τῶν ἐκλεκτῶν σου, ὅτε θέλεις καὶ ὡς θέλεις· μόνον, χωρὶς αἰσχύνης καὶ παραπτωμάτων, διὰ τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ· αὐτὸς γὰρ ὅστιν ὁ μόνος ἀναμάρτητος φανεὶς ἐπὶ τῆς γῆς.

Ο ΔΙΑΚΟΝΟΣ.

Καὶ ὑπὲρ εἰρήνης καὶ εὐσταθείας παντὸς κόσμου, καὶ τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ ὧν ἕκαστος προσήνεγκεν, ἢ κατ

διάνοιαν ἔχει· καὶ τοῦ πρεσβυτέρου λαοῦ, καὶ πάντων καὶ πασῶν.

Ο ΛΑΟΣ.

Κ αὶ πάντων καὶ πασῶν.

Ο ΙΕΡΕΥΣ ΕΚΦΩΝΕΙ.

Δι' ὧν καὶ ἡμῖν καὶ αὐτοῖς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος,

Ο ΛΑΟΣ.

Ἄνες, ἄφες, συγχώρησον ὁ θεὸς τὰ πλημμελήματα ἡμῶν, τὰ ἑκούσια, τὰ ἀκούσια· τὰ ἐν ἔργῳ, καὶ λόγῳ· τὰ ἐν γνώσει, καὶ ἀγνοίᾳ· τὰ ἐν νυκτὶ, καὶ ἐν ἡμέρᾳ· τὰ κατὰ νοῦν, καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ο ΙΕΡΕΥΣ.

Χάριν τῶν οἰκτιρμῶν καὶ φιλανθρωπίας τοῦ μονογενοῦς σου υἱοῦ, μθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἔτι καὶ ἔτι διὰ παντὸς ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ὑπὲρ τῶν προσκομιζόντων καὶ ἁγιαζόντων τιμίων, ἐπουρανίων, ἀρρήτων, ἀχράντων, ἐνδόξων, φοβερῶν, φρικτῶν, θείων δώρων κυρίῳ τῷ θεῷ, δεηθῶμεν. ὅπως κύριος ὁ θεὸς ἡμῶν ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον, νοερὸν καὶ πνευματικὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν

τὴν

τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου πνεύματος, δεηθῶμεν. τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ παναγίου αὐτοῦ καὶ προσκυνητοῦ πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο ΛΑΟΣ. Ἀμήν.

Ο ΙΕΡΕΥΣ ΕΠΕΥΧΕΤΑΙ.

Ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ μεγαλώνυμος κύριος, ἡ μακαρία φύσις, ἡ ἄφθονος ἀγαθότης, ὁ πάντων θεὸς καὶ δεσπότης, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, καὶ δοξαζόμενος ὑπὸ τῶν σεραφίμ, ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων στρατιαί, τὰ μὲν παρεστῶτα σοι δῶρα, δόματα, καρπώματα, ἡς ὀσμὴν εὐωδίας πνευματικῆς, προσδέξω, καὶ ἁγιάσαι καὶ τελειῶσαι καταξιώσας ἀγαθε, τῇ χάριτι τοῦ Χριστοῦ σου καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου σου πνεύματος· ἁγίασον δέσποτα καὶ τὰς ἡμετέρας ψυχὰς καὶ σώματα καὶ τὰ πνεύματα, καὶ φιλάφησον τὰς διανοίας, καὶ ἀνάκρινον τὰς συνειδήσεις, καὶ ἔκβαλον ἀφ' ἡμῶν πᾶσαν ἔννοιαν πονηρὰν, πάντα λογισμὸν ἀσελγῆ, πᾶσαν ἐπιθυμίαν αἰσχρὰν, πάντα λογισμὸν ἀπρεπῆ, πάντα φθόνον καὶ τύφον, καὶ ὑπόκρισιν· πᾶν ψεῦδος, παν τε δόλον, πάντα σφετερισμὸν βιωτικὸν, πᾶσαν πλεονεξίαν, πᾶσαν κενοδοξίαν, πᾶσαν ῥαθυμίαν, πᾶσαν κακίαν, πάντα θυμὸν, πᾶσαν ὀργὴν, πᾶσαν μνησικακίαν, πᾶσαν βλασφημίαν, πᾶσαν κίνησιν σαρκός τε καὶ πνεύματος ἀπηλλοτριωμένην θελήματος τῆς ἁγιότητός σου.

ΕΚΦΩΝΗΣΙΣ.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα φιλάνθρωπε μετὰ παρ-

ρησίας ἀκατακρίτως, ἐν καθαρᾷ καρδίᾳ, ψυχῇ σεσωτε-
τειμμένῃ, ἀνεπαισχύντῳ προσώπῳ, ἡγιασμένοις χεί-
λεσι, τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον
θεὸν πατέρα, καὶ λέγειν.

Ο ΛΑΟΣ.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου.
καὶ τὰ ἑξῆς.

Ο ΙΕΡΕΥΣ ΕΓΙΚΛΙΝΟΜΕΝΟΣ ΛΕΓΕΙ.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν κύριε κύριε τῶν
δυνάμεων, ὁ εἰδὼς τὴν ἀσθένειαν ἡμῶν, ἀλλὰ ῥῦσαι ἡμᾶς
ἀπὸ τοῦ πονηροῦ καὶ τῶν ἔργων αὐτοῦ, καὶ πάσης ἐπηρείας καὶ
μεθοδείας αὐτοῦ, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν
ἐπὶ πάντας ἡμετέραν ταπείνωσιν.

ΕΚΦΩΝΗΣΙΣ.

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πα-
τρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

Ο ΛΑΟΣ.

Σοὶ κύριε.

Ο ΙΕΡΕΥΣ ΕΓΕΥΧΕΤΑΙ
λέγων οὕτω.

Σοὶ ἐκλίναμεν οἱ δοῦλοί σου κύριε τοῖς ἡμετέροις αὐχένας
ἐνώπιον τοῦ ἁγίου σου θυσιαστηρίου, ἀπεκδεχόμενοι τὰ παρὰ

σὰ Σοῦ πλούσια ἐλέη· πλουσίαν τὴν χάριν Σου καὶ τὴν δύναμιν Σου ἐξαπόστειλον ἡμῖν δέσποτα, καὶ ἁγίασον τὰς ψυχὰς ἡμῶν, καὶ τὰ σώματα καὶ τὰ πνεύματα, ἵνα ἄξιοι γενώμεθα κοινωνοὶ καὶ μέτοχοι γενέσθαι τῶν ἁγίων Σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

ΕΚΦΩΝΗΣΙΣ.

Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις ὁ θεὸς ἡμῶν, καὶ ὁ μονογενής Σου υἱός, καὶ τὸ πνεῦμά Σου τὸ παν-άγιον, νῦν καὶ ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ ΕΚΦΩΝΕΙ.

Καὶ ἔσται ἡ χάρις καὶ τὰ ἐλέη τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀκλίτου καὶ προσκυνητῆς τριάδος, μετὰ πάντων ἡμῶν.

Ο ΛΑΟΣ.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Μετὰ φόβου θεοῦ προσέχωμεν.

Ο ΙΕΡΕΥΣ ΥΨΩΝ ΤΟ ΔΩΡΟΝ λέγει καθ' ἑαυτόν.

Ἅγιε ὁ ἐν ἁγίοις διαπαυόμενος κύριε, ἁγίασον ἡμᾶς τῷ λόγῳ τῆς σῆς χάριτος, καὶ τῇ ἐπιφοιτήσει τοῦ παναγίου Σου πνεύματος· σὺ γὰρ εἶπας δέσποτα, ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος εἰμι κύριε ὁ θεὸς ἡμῶν ἀκατάληπτε θεοῦ λόγε, τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι ὁμοούσιε, σὺν αἴδει καὶ ἀχώριστε, προσδέξαι τὸν ἀκήρατον ὕμνον ἐν ταῖς ἁγίαις καὶ διαμάκλοις Σου θυσίαις, σὺν τοῖς χερουβὶμ καὶ σεραφὶμ, καὶ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ βοῶντος καὶ λέγοντος.

ΕΚΦΩΝΗΣΙΣ.

Τὰ ἅγια τοῖς ἁγίοις.

Ο ΛΑΟΣ.

Εἷς ἅγιος, εἷς κύριος, Ἰησοῦς Χριστὸς, εἰς δόξαν θεοῦ πατρὸς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΔΙΑΚΟΝΟΣ.

Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἱλασμοῦ τῶν ψυχῶν ἡμῶν, καὶ ὑπὲρ πάσης ψυχῆς θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους καὶ βοηθείας θεοῦ ἐπιδεομένης, καὶ ἐπιστροφῆς τῶν πεπλανημένων, ἰάσεως τῶν ἀσθενούντων, διαῤῥύσεως τῶν αἰχμαλώτων, διαπαύσεως τῶν προκεκοιμημένων πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, πάντες ἐκτενῶς εἴπωμεν, κύριε ἐλέησον.

Ο ΛΑΟΣ.

Κύριε ἐλέησον. δωδεκάκις.

ΕΙΤΑ ΚΛΑΤΟΝ ΑΡΤΟΝ Ο ΙΕΡΕΥΣ, καὶ κρατεῖ τῇ δεξιᾷ τὸ ἥμισυ, καὶ τῇ ἀριστερᾷ τὸ ἥμισυ, καὶ βάλλει τὸ τῆς δεξιᾶς ἐν τῷ κρατῆρι λέγων.

Ἕνωσις τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΚΑΙ ΣΦΡΑΓΙΖΕΙ ΤΟ ΤΗΣ ΑΡΙΣΤΕΡΑΣ· εἶτα τούτῳ τῷ ἐσφραγισμένῳ, τὸ δεξιὸν ἥμισυ· καὶ εὐθέως ἄρχεται μιγίζειν, καὶ προσπτύων διδόναι εἰς ἕκαστον κρατῆρα ἁπλῶς, λέγων.

Ἥνωται καὶ ἡγίασται καὶ τετελείωται εἰς τὸ ὄνομα τοῦ παντὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί.

ΚΑΙ ΟΤΑΝ ΣΦΡΑΓΙΖΗ τὸν ἄρτον, λέγει.

Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ υἱὸς τοῦ παντὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, σφαγιασθεὶς ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

ΚΑΙ ΟΤΑΝ ΔΙΔΩ ΜΕΡΙΔΑ ΑΠΛΩΣ εἰς ἕκαστον κρατῆρα, λέγει.

Μερὶς

Μετὰ ἁγίας χαρᾶς πληρῆς χάριτος καὶ ἀληθείας, παρὸς καὶ ἁγίου πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΙΤΑ ΑΡΧΕΤΑΙ ΜΕΛΙΖΕΙΝ
καὶ λέγει.

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, εἰς τόπον χλόης, καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ.

ΕΙΤΑ.

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ. καὶ τὰ ἑξῆς.

ΕΙΤΑ.

Ὑψώσωσε ὁ θεός μου ὁ βασιλ. καὶ τὰ ἑξῆς.

ΕΙΤΑ.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη. καὶ τὰ ἑξῆς.

Ο ΔΙΑΚΟΝΟΣ.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ.

Ὁ κύριος εὐλογήσει καὶ ἀκατακρίτους ἡμᾶς διατηρήσει ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων αὐτοῦ δωρεῶν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

ΚΑΙ ΟΤΑΝ ΠΛΗΡΩΣΩΣΙ,
λέγει ὁ Διάκονος.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ ΛΕΓΕΙ.

Ὁ κύριος εὐλογήσει καὶ ἀξιώσει ἡμᾶς ἁγναῖς ταῖς τῶν δακτύλων λαβαῖς, λαβεῖν τὸν τίμιον δεῖπνα, καὶ ἐπιθεῖναι τοῖς τῶν πιστῶν σώμασιν, εἰς καθαρισμὸν καὶ δυσκαινισμὸν τῶν ψυχῶν αὐτῶν καὶ τῶν σωμάτων, νῦν καὶ ἀεί.

ΕΙΤΑ.

Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος, ὁ μεριζόμενος καὶ μὴ μεριζόμενος, καὶ τοῖς πιστοῖς μεταδιδόμενος καὶ μὴ δα-

παντώμβρος, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν τὴν αἰώνιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐν εἰρήνῃ Χριστοῦ ψάλλωμεν.

ΟΙ ΨΑΛΤΑΙ.

Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος.

Ο ΙΕΡΕΥΣ ΛΕΓΕΙ ΕΥΧΗΝ
περὶ τῆς μεταλήψεως.

Κύριος ὁ θεὸς ἡμῶν ὁ οὐράνιος ἄρτος, ἡ ζωὴ τοῦ παντός, ἡμῶν τὸν εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ ὅτι εἰμὶ ἄξιος μεταλαβεῖν τῶν ἀχράντων σου μυστηρίων, ἀλλὰ ὡς εὔσπλαγχνος θεὸς ἀξίωσόν με τῇ χάριτί σου ἀκατακρίτως μεταλαβεῖν τοῦ ἁγίου σώματος καὶ τοῦ τιμίου αἵματος εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

ΕΙΤΑ ΜΕΤΑΔΙΔΩΣΙ ΤΩ ΚΛΗΡΩ.
ὅτε δὲ ἐπαίρουσιν οἱ διάκονοι τοὺς δίσκους καὶ τοὺς κρατῆρας εἰς τὸ μεταδοῦναι τῷ λαῷ, λέγει ὁ διάκονος αἴρων τὸν ἕνα δίσκον.

Κύριε εὐλόγησον.

ΑΠΟΚΡΙΝΕΤΑΙ Ο ΙΕΡΕΥΣ.

Δόξα τῷ θεῷ τῷ ἁγιάσαντι καὶ ἁγιάζοντι πάντας ἡμᾶς.

ΛΕΓΕΙ Ο ΔΙΑΚΟΝΟΣ.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, καὶ ἡ βασιλεία σου διαμένει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΚΑΙ ΟΤΕ ΜΕΛΛΕΙ Ο ΔΙΑΚΟΝΟΣ
ἀθέναι εἰς τὸ τράπεζον, λέγει ὁ ἱερεύς.

Εὐλογητὸν τὸ ὄνομα κυρίου τοῦ θεοῦ ἡμῶν, εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ.

Μετὰ φόβου θεοῦ καὶ πίστεως καὶ ἀγάπης προσέλθετε.

Ο ΛΑΟΣ.

Εὐλο-

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

ΚΑΙ ΓΑΛΙΝ ΟΤΕ ΕΓΑΙΡΕΙ ΤΟΝ
δίσκον ἀπὸ τῆς τραπέζης λέγει.

Κύριε εὐλόγησον.

Ο ΙΕΡΕΥΣ.

Σῶσον ὁ θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ο ΙΕΡΕΥΣ ΓΑΛΙΝ.

Δόξα τῷ θεῷ ἡμῶν τῷ ἁγιάσαντι πάντας ἡμᾶς.

ΚΑΙ ΟΤΑΝ ΑΓΟΘΗΤΑΙ ΤΟ ΓΟ-
τήριον εἰς τὴν ἁγίαν τράπεζαν, λέγει ὁ ἱερεύς.

Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΛΕΓΟΥΣΙΝ ΟΙ ΔΙΑΚΟΝΟΙ
καὶ ὁ λαός.

Πλήρωσον τὸ στόμα ἡμῶν αἰνέσεως σου κύριε, καὶ χαρᾶς ἔμπλησον τὰς χεῖλη ἡμῶν, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

ΚΑΙ ΠΑΛΙΝ.

Εὐχαριστοῦμεν σοι χριστὲ ὁ θεὸς ἡμῶν, ὅτι ἠξίωσας ἡμᾶς μεταλαβεῖν τοῦ σώματος καὶ αἵματός σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον· ἀκατακρίτους ἡμᾶς φύλαξον δεόμεθα, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΕΥΧΗ ΘΥΜΙΑΜΑΤΟΣ ΕΙΣ
τὴν ἐκκλησίαν εἴσοδον.

Εὐχαριστοῦμεν σοι τῷ σωτῆρι τῶν ὅλων θεῷ ὑπὲρ πάσιν οἷς προέχου ἡμῖν ἀγαθοῖς, καὶ ὑπὲρ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ἀχράντων σου μυστηρίων· καὶ προσφέρομεν σοι τὸ θυμίαμα τοῦτο, δεόμενοι, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου, καὶ καταξίωσον ἡμᾶς μέχρι τῆς ἐσχάτης

ἡμῶν ἀναπνοῆς, μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων, εἰς βασιλείας οὐρανῶν κληρονομίαν· ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν ὁ θεός, & σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι.

ΚΑΙ ΑΡΧΕΤΑΙ Ο ΔΙΑΚΟΝΟΣ

ἐν τῇ εἰσόδῳ.

Δόξα σοι, δόξα σοι, δόξα σοι χριστὲ βασιλεῦ, μονογενὲς λόγε τοῦ πατρός, ὅτι κατηξίωσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου ἐν ἀπολαύσει γενέσθαι τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον· δόξα σοι.

ΚΑΙ ΟΤΑΝ ΠΟΙΗΣΗ ΤΗΝ ΕΙΣΟΔΟΝ, ΑΡΧΕΤΑΙ ΛΕΓΕΙΝ Ο ΔΙΑΚΟΝΟΣ ΟΥΤΩΣ.

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς ἀποζωπυρὶν παντὸς πονηροῦ φαντάσματος, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς κοινωνίαν & δωρεὰν τοῦ ἁγίου πνεύματος, δεηθῶμεν.

Ο ΙΕΡΕΥΣ ΕΥΧΕΤΑΙ.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλόγου, εὐλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο ΛΑΟΣ.

Σοὶ κύριε.

Ο ΙΕΡΕΥΣ.

Ὁ θεὸς ὁ διὰ πολλὴν καὶ ἄφατον φιλανθρωπίαν συγκαταβὰς τῇ ἀσθενείᾳ τῶν δούλων σου, καὶ καταξιώσας ἡμᾶς

μᾶς μεταχεῖν ταύτης τῆς ἐπουρανίου τραπέζης, μὴ κατακρίνῃς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ὑπὲρ τῇ μεταλήψει τῶν ἀχράντων σου μυστηρίων, ἀλλὰ φύλαξον ἡμᾶς ἁγιάσας τῷ ἁγίῳ σου πνεύματος, ἵνα ἅγιοι γενόμενοι, εὕρωμεν μέρος καὶ κληρονομίαν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων, ἐν τῷ φωτὶ τῷ προσώπου σου, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι. ὅτι πρέπει σοι δόξα καὶ τιμὴ καὶ προσκύνησις τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΙΕΡΕΥΣ.

Εἰρήνη πᾶσιν.

Ο ΛΑΟΣ.

Καὶ τῷ πνεύματί σου.

Ο ΔΙΑΚΟΝΟΣ.

Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

Ο ΙΕΡΕΥΣ.

Ὁ θεὸς ὁ μέγας καὶ θαυμαστὸς ἐπιδὲ ὑπὲρ τοὺς δούλους σου, ὅτι σοὶ τοὺς αὐχένας ἐκλίναμεν· ἔκλινον τὸν χεῖρά σου τὸν κραταιὸν καὶ πλήρη εὐλογιῶν, καὶ εὐλόγησον τὸν λαόν σου· διαφύλαξον τὸν κληρονομίαν σου, ἵνα ἀεὶ καὶ διὰ παντὸς δοξάζωμεν σὲ τὸν μόνον ζῶντα καὶ ἀληθινὸν θεὸν ἡμῶν, τὸν ἁγίαν καὶ ὁμοούσιον τελάδα, πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΚΦΩΝΗΣΙΣ.

Σοὶ γὰρ πρέπει καὶ ἐπιφέλεται ἡ δόξα παντὸς ἡμῶν δο-

ξολογία, λιμὴ καὶ προσκύνησις καὶ εὐχαριστία, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν & ἀεί.

Ο ΛΑΟΣ.

Ἀμήν.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐν εἰρήνῃ χριστοῦ ψάλλωμεν.

ΚΑΙ ΠΑΛΙΝ ΛΕΓΕΙ.

Ἐν εἰρήνῃ χριστοῦ παρακαλέσωμεν.

Ο ΛΑΟΣ.

Ἐν ὀνόματι κυρίου. κύριε εὐλόγησον.

ΕΥΧΗ ΑΠΟΛΥΤΙΚΗ ΛΕΓΟΜΕ-
νη παρὰ τοῦ Διακόνου.

Ἀπὸ δόξης εἰς δόξαν παρακαλούμενοι, σὲ ὑμνοῦμεν τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν. δόξα πατρὶ & υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ & εἰς τοὺς αἰῶνας, σὲ ὑμνοῦμεν τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ο ΙΕΡΕΥΣ ΛΕΓΕΙ ΕΥΧΗΝ ΑΠΟ
τοῦ θυσιαστηρίου μέχρι τοῦ σκευοφυλακίου.

Ἐκ δυνάμεως εἰς δύναμιν παρακαλούμενοι, καὶ πᾶσαν τὴν ἐν τῷ ναῷ σου πληρώσαντες θείαν λειτουργίαν, καὶ νῦν δεόμεθά σου κύριε ὁ θεὸς ἡμῶν, τελείας φιλανθρωπίας ἀξίωσον ἡμᾶς· ὀρθοτόμησον τὴν ὁδὸν ἡμῶν· ῥίζωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, καὶ τῆς ἐπουρανίου βασιλείας ἀξίωσον, ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ & εἰς τοὺς αἰῶνας.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἔτι καὶ ἔτι καὶ διὰ παντὸς ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΛΕΓΟΜΕΝΗ ΕΝ ΤΩ
σκευοφυλακίῳ μετὰ τὴν ἀπόλυσιν.

Ἔδω-

Ἔδωκας ἡμῖν δέσποτα τὸν ἁγιασμὸν ἐν τῇ μετουσίᾳ τοῦ παναγίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς σου υἱοῦ, κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, δὸς ἡμῖν καὶ τὴν χάριν τοῦ πνεύματός σου τοῦ ἁγίου, καὶ φύλαξον ἡμᾶς ἀμώμους ἐν τῇ πίστει· ὁδήγησον ἡμᾶς εἰς τελείαν υἱοθεσίαν καὶ ἀπολύτρωσιν, εἰς τὰς μελλούσας αἰωνίους ἀπολαύσεις· σὺ γὰρ εἶ ὁ ἁγιασμὸς καὶ φωτισμὸς ἡμῶν ὁ θεός, καὶ ὁ μονογενής σου υἱός, καὶ τὸ πνεῦμά σου παν ἅγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο ΔΙΑΚΟΝΟΣ.

Ἐν εἰρήνῃ Χριστοῦ διαφυλαχθῶμεν.

Ο ΙΕΡΕΥΣ.

Εὐλογηταὶ ὁ θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων διὰ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ζωοποιῶν καὶ ἀχράντων μυστηρίων, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΕΙΤΑ ΕΥΧΗ ΤΟΥ ΙΑΑΣΜΟΥ.

Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ τοῦ ζῶντος, ἀμνὲ καὶ ποιμὴν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ τὸ δανάειον τοῖς δυσὶ χρεωφειλέταις χαρισάμενος, καὶ τῇ ἁμαρτωλῷ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῆς δοὺς, ὁ τὴν ἴασιν τῷ παραλυτικῷ δωρησάμενος, σὺν τῇ ἀφέσει τῶν ἁμαρτιῶν αὐτῷ, δοὺς, ἄφες, συγχώρησον ὁ θεὸς τὰ πλημμελήματα ἡμῶν τὰ ἑκούσια, τὰ ἀκούσια· τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν βαθάσει καὶ βαθυκοῇ γνώμῃ, ἃ οἶδε τὸ πνεῦμά σου τὸ παν ἅγιον ὑπὲρ τοὺς δούλους σου· καὶ εἴ τι τῶν ἐντολῶν σου ὡς δοῦλοι σάρκα φορεῦντες καὶ τὸν κόσμον τοῦτον οἰκοῦντες, ἢ ἐκ διαβόλου ἐπλανήθησαν, εἴτε ἐν λόγῳ, ἢ ἐν ἔργῳ· εἴτε ὑπὸ κατάραν ὑπέπεσαν, ἢ τῷ ἰδίῳ δυναθέματι, βοηθῶ καὶ δέομαι τὴν ἄφατόν σου φιλανθρωπίαν, τῷ μὴ λόγῳ λυθεῖσαι· συγχωρηθεῖσαι δὲ αὐτοῖς καὶ

τῷ ὅρκῳ καὶ τῷ ἰδίῳ ἀναθέματι κ̅ τὴν σὴν ἀγαθότητα. καὶ δέσποτα κύριε εἰσάκουσον τῆς δεήσεώς μου ὑπὲρ τῶν δούλων σου, καὶ πάριδε ὡς ἀμνησίκακος τὰ ἐπλημμένα αὐτῶν ἅπαντα· συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίου κολάσεως· σὺ γὰρ εἶ ὁ ἐντειλάμενος ἡμῖν λέγων, ὅτι, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς· ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν, θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν καὶ ἀφιέναι ἁμαρτίας δυνάμενος, ᾧ πρέπει σοὶ ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ ΘΕΙΑ

Ἡ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ

ἐν ἁγίοις πατρὸς Βασιλείου τοῦ μεγάλου.

ΣΗΜΕΙΩΣΑΙ ΟΤΙ ΑΥΤΗ Η ΘΕΙΑ λειτουργία τοῦ μεγάλου Βασιλείου, οὐ λέγεται πολύκις, ἀλλ' ἐν καιροῖς τεταγμένοις, ἤγουν ἐν ταῖς κυριακαῖς τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς, πλὴν τῆς κυριακῆς τῶν βαΐων· ἐν τῇ ἁγίᾳ μεγάλῃ πέμπτῃ, ἐν τῷ μεγάλῳ Σαββάτῳ, ἐν τῇ παραμονῇ τῆς χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως, καὶ τῶν φώτων· καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑορτασίμῳ τοῦ ἁγίου Βασιλείου, καὶ τῇ τοῦ σταυροῦ, καὶ τὸν τύπον τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. Η ἑρμηνεία καὶ ἡ διάταξις ταύτης τῆς ἱερουργίας ἡ αὐτή ἐστι τῇ τοῦ ἁγίου Χρυσοστόμου, ἐν τε τῇ τοῦ ἱερέως καὶ τοῦ διακόνου βυχαῖς τε καὶ θρησκείαις, πλὴν ὀλίγων, ἃ ἐν τοῖς ἑαυτῶν τόποις ἐσημειώθησαν.

ΕΥΧΗ ΤΗΣ ΠΡΟΘΕΣΕΩΣ.

ΟΘΕΟΣ ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὸν τροφὸν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὸν προθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάντων τῶν προσενεγκάντων καὶ διὰ οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

ΕΚΦΩΝΩΣ.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ σοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὰ αὐτὰ τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου λέγεται κἀνταῦθα πρός τε τοῦ ἱερέως καὶ τοῦ διακόνου. ὁ ἱερεὺς ἐκφώνως.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

ΤΑ εἰρηνικὰ καὶ αἱ ἀποκρίσεις ὡς καὶ ἐν τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου. ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ὑπὲρ τῆς ἄνωθεν εἰρήνης. ὑπὲρ τῆς εἰρήνης τοῦ παντὸς. ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. ὑπὲρ τοῦ ἀρχιεπισκόπου. ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων. ὑπὲρ τῶν συμπολεμούντων καὶ ὑποτάκτων. ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης. ὑπὲρ εὐκρασίας ἀέρος. ὑπὲρ πλεόντων, ὁδοιπορούντων. ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

ΕΥΧΗ αἰτιφώνου τρόπον μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μετ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

ΤΟΥ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν ᾧ αὐτῷ καιρῷ ὁ Διάκονος λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά· εἰ δὲ μὴ ἔστι Διάκονος, ὁ ἱερεὺς μετὰ τὴν εὐχὴν, λέγει τὰ εἰρηνικά, καὶ μετὰ ταῦτα τὴν ἐκφώνησιν.

Ἔτι καὶ ἔτι τοῦ κυρίου. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας, ἀχράντου, ὑπέρ.

ΕΚΦΩΝΩΣ ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Μετὰ τὰ εἰρηνικὰ ὁ χορὸς ψάλλει τὸ πρῶτον αἰτιφωνον, ἢ τὰ τυπικὰ εἰ ἔστι κυριακὴ εἴτ' οὖν, τοῦ ἡμέρας. Εὐχὴ αἰτιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν

κλη

κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς δοξάσον τῇ θείᾳ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Σημείωσαι καὶ τοῦτο ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ, εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν.

Ἐπ καὶ ἐπ. Ἀντιλαβοῦ. Τῆς παναγίας, ἀχραντοῦ.

Εκφώνως ὁ ἱερεύς.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δυνάμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Μετὰ τὰ δύο τρία εἰρηνικά, ἀλλὰ ὁ χορὸς τὸ δεύτερον ἀντίφωνον, ἢ τὰ τυπικὰ τὰ δύο τρία, εἰ ἔστι κυριακὴ εἴτ' οὖν, τῆς ἡμέρας.

Εὐχὴ ἀντιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαριζόμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχων ἐπαγγελόμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μελλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Καὶ τοῦτο σημείωσαι ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ καὶ δευτέρᾳ, εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν.

Ἐπ καὶ ἐπ. Ἀντιλαβοῦ, σῶν. Τῆς παναγίας, ἀχράντου.

Εκφώνως ὁ ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

ΚΑΝΤΑΥΘΑ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ ὁ χορὸς τὰ αὐτὰ ψάλλει· ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος ταὐτὰ καὶ λέγουσι καὶ ποιοῦσιν.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου βουγγελίου μυστικῶς.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν ὁ κατασήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Εκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

ΜΕΤΑ τὸν βυζαντινὸν ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος καὶ ὁ χορὸς ταὐτὰ καὶ ποιοῦσι καὶ λέγουσι τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Εὐχὴ τοῦ τρισαγίου, ὃν ὁ ἱερεὺς μυστικῶς λέγει.

Ὁ θεὸς ὁ ἅγιος ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κλίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ ὁρῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου·

συν-

συγχώρησον ἡμῖν πᾶν πλημμέλημα, ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Εκφώνως.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

ΤΑΥΤΗΣ τῆς εὐχῆς τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος, Δόξα καὶ νῦν. ὁ, τε ἱερεὺς καὶ ὁ διάκονος ψάλλουσι δι' ἑαυτῶν καὶ τὰ λοιπὰ ποιοῦσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ο διάκονος.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς. Κύριε παντοκράτορ ὁ θεὸς τῶν. Ἐπιδεόμεθα ὑπὲρ τῆς δυ.

Ο ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην κρυπτῶς.

Κύριε ὁ θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν προσδέξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμοὺς σου, κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸν παρὰ σοῦ πλούσιον ἔλεον.

Εκφώνως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

ΤΑ αὐτὰ ὁ διάκονος καὶ ἐνταῦθα ὑπὲρ τῶν κατηχουμένων τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ λέγει.

Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ. Οἱ πιστοὶ ὑπὲρ. Κατηχήσῃ αὐτοῖς τὸν. Ἀποκαλύψῃ αὐτοῖς. Ἑνώσῃ

αὐτοὺς. Σῶσον, ἐλέησον, ἀν. Οἱ κατηχούμενοι, τὰς κεφαλάς.

ΕΥΧΗ ὑπὲρ τῶν κατηχουμένων περὶ τῆς ἁγίας ἀναφορᾶς. εἶτα ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς κεκλικότας τὰς ἑαυτῶν αὐχένας ἐνώπιόν σου, καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν, ποίησον αὐτοὺς μέλη τῆς ἁγίας σου ἐκκλησίας, καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σου τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν.

Εκφώνως ὁ ἱερεύς.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαπρεπές ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

ΜΕΤΑ τὸν ἐκφώνησιν ὁ ἱερεὺς ὀξαπλοῖ τὸ εἰλητὸν καὶ τὸ στιχήθες.

Ο ΔΙΑΚΟΝΟΣ.

Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε, ὅσοι κατηχούμενοι προέλθετε· μὴ τις τῶν κατηχουμένων. ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

ΕΥΧΗ πιστῶν προσευχὴ μετὰ τὸ ἀπλωθῆναι τὸ εἰλητὸν, εἶτα ὁ ἱερεὺς λέγει μυστικῶς.

Σὺ κύριε κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον, σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος εἰς τὴν διακονίαν ταύτην, ἵνα ἀκατακρίτως σαν-

τες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσφέρομέν σοι θυσίαν αἰνέσεως· σὺ γὰρ εἶ ὁ κατὰ πάντα ἐν πᾶσι· δὸς κύριε καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεχθῆναι τὴν θυσίαν ἡμῶν καὶ δυσωπῆσαι ἐνώπιόν σου.

Εὐχομένου τοῦ ἱερέως, ὁ ψάλτης λέγει τὰ εἰρηνικά, εἰ ἔστι, ἔξω τοῦ ἁγίου βήματος.

Ἔτι καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας, ἀγαλλόμενοι.

Ο ψάλτης. Σοφία.

Εκφώνως ὁ ἱερεύς.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Ὁ θεὸς ὁ ὑπερφάνων ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπεινώσιν ἡμῶν, ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος εἰς τὴν διακονίαν ταύτην· καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τὸ ὑπακοῦσαι τὴν χάριν τοῦ ἁγίου πνεύματος ὑπὲρ τῶν μελλόντων προσφέρειν δῶρον.

Εὐχομένου τοῦ ἱερέως, ὁ ψάλτης λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος, ὡς καὶ πρότερον. μετὰ τὰ εἰρηνικὰ λέγει ἐκφώνως ὁ ἱερεύς.

Ὅπως ὦσι τοῦ κράτους σου πάντοτε φυλακτόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Τὰ αὐτὰ καὶ τοῦτα καὶ λέγεται καὶ ποιοῦσιν ὅ, τε ἱερεὺς καὶ ὁ ψάλτης τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Εὐχὴ τοῦ λέγει ὁ ἱερεὺς μυστικῶς, τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν σὺν σοὶ δεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοὶ βασιλεῖ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὸν ἄφατον καὶ ἄμετρόν σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὸν ἰσοδυνάμον παρέδωκας ἡμῖν ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐπαναπαυόμενος, ὁ τῶν σεραφὶμ κύριε καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἄχρειον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παρασταθῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ τίμιον αἷμα· σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα· καὶ δέομαί σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα· σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος χριστὲ ὁ θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀναρχῷ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ταῦτα ὅ, τε ἱερεὺς καὶ ὁ Διάκονος τὰ αὐτὰ καὶ ποιοῦσι καὶ λέγουσι τῇ τοῦ Χρυσοστόμου ἱερουργίᾳ· καὶ τελειωθέντων τῶν δώρων καὶ τῶν θρησκειῶν, ὁ Διάκονος ἔρχεται ἐν τῷ σωνήθεῖ τόπῳ λέγων.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. ὑπὲρ τῶν προκειμένων τιμίων. ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀνάθεσιν, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ κλίσας ἡμᾶς ἐκ ἀγαγὼν εἰς τὸν ζῶντα τούτῳ, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν ἐπουρανίων μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν τούτῳ ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου· εὐδόκησον δὴ κύριε τοὺς γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων· προσδέξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα γένωμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν θυσίαν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, καὶ προσδεξάμενος εἰς τὸ ἅγιον καὶ νοερόν σου θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀνταπόστειλον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου πνεύματος. ἐπίβλεψον ἐφ' ἡμᾶς ὁ θεὸς, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην, καὶ προσδέξαι αὐτὴν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς· ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν προσδέξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου κύριε, ἵνα καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, ἀφέσεως

τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς δικαιοκρισίας σου τῆς δικαίας.

Ο Διάκονος ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ἀντιλάβου, σῶσον, ἐλέησον. Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν. Ἄγγελον εἰρηνικὸν, πιστὸν ὁδηγόν. Συγγνώμην καὶ ἄφεσιν τῶν. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν. Τῆς παναγίας, ἀχράντου.

Εκφώνως ὁ ἱερεύς.

Διὰ τῆς οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ο ἱερεύς. Εἰρήνη πᾶσιν.

Ο Διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν,

Ο χορός.

Πατέρα, υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ο ἱερεὺς προσκυνήσας τρὶς, λέγων μυστικῶς.

Ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου, κύριε στερέωμά μου καὶ καταφυγή μου. Τρὶς.

Καὶ ὁ Διάκονος προσπίπτει τῷ ὠρείῳ αὐτοῦ, καὶ προσκυνήσας τρὶς, καὶ ὑπισχνούμενος ἐκφώνως.

Τὰς θύρας, τὰς θύρας. ἐν σοφίᾳ προσχώμεν.

Ο χορός, ὁ, Πιστεύω.

Καὶ μετὰ τοῦ συμπληρῶσαι τὸν ἁγίου συμβόλου, λέγει ὁ Διάκονος ἐκφώνως.

Σταθῶμεν καλῶς, σταθῶμεν μετὰ φόβου, προσχώμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν. Ο χορός.

Ἔλεον

Ἔλαβον εἰρήνης, θυσίαν αἰνέσεως.

Ο ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ο χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ο ἱερεύς. Ἄνω χῶμεν τὰς καρδίας.

Ο χορός. Ἔχομεν πρὸς τὸν κύριον.

Ο ἱερεύς. Εὐχαριστήσωμεν τῷ κυρίῳ.

Ο χορός.

Ἄξιον καὶ δίκαιον ἐστὶ προσκυνεῖν πατέρα, υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ο ἱερεὺς κλινόμενος ἐπάχεται μυστικῶς.

Ὁ ὢν, δέσποτα κύριε, θεὲ πάτερ, παντοκράτορ, προσκυνητὲ, ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα θεὸν, καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν, ὅτι σύ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυνατείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου, ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ. δέσποτα δέσποτα τῶν ἁπάντων, κύριε οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως ὁρατῆς τε καὶ οὐχ ὁρατῆς, ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσοις, ἀνάρχε, ἀόρατε, ἀκατάληπτε, ἀπρόσιτε, ἀναλλοίωτε, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος, τῆς ἐλπίδος ἡμῶν, ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος ἐν ἑαυτῷ, δεικνὺς σὲ τὸν πατέρα, λόγος

ζῶν, θεὸς ἀληθινὸς, ἡ πρὸ αἰώνων σοφία, ζωή, ἁγιασμὸς, δυνάμις, τὸ φῶς τὸ ἀληθινόν· παρ' ὃ τὸ πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀρραβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δυνάμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ· παρ' ὃ πᾶσα κτίσις λογική τε καὶ νοερὰ δυναμουμένη, σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν· ὅτι τὰ σύμπαντα, δοῦλα σά· σὲ γὰρ αἰνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαὶ, ἐξουσίαι, δυνάμεις, καὶ τὰ πολυόμματα χερουβὶμ, σοὶ παρίστανται κύκλῳ τὰ σεραφὶμ, ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, κέκραγον, ἕτερον πρὸς τὸ ἕτερον ἀκατάπαυστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις,

Εκφώνως ὁ ἱερεύς.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα, Ο χορός.

Ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ. πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος ὁ ἐρχόμενος, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Καὶ πάλιν ὁ διάκονος τὰ αὐτὰ ποιεῖ τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

ἐπεύχεται μυστικῶς ὁ ἱερεύς.

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, δέσποτα φιλάνθρωπε καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ, βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ ὡς ἀληθῶς καὶ πανάγιος, καὶ οὐκ ἔστι μέγεθος τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν· πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ ὁ θεὸς ἐτίμησας, θέμενος αὐτὸν ἐν τῷ πα-

εκδείσας τῆς ζυφῆς, ἀθανασίαν ζωῆς & ἀπόλαυσιν αἰ-
ωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλά-
μενος αὐτῷ, ἀλλὰ παρακούσαντα σου τοῦ ἀληθινοῦ θεοῦ &
κλίσαντος αὐτὸν, καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νε-
κρωθέντα τε τοῖς οἰκείοις ἁμαρτήμασιν, δικαίως ἐξαφέ-
σας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου ὁ θεὸς ἐκ τοῦ παραδείσου
εἰς τὸν κόσμον τοῦτον, & ἀπέστρεψας εἰς τὴν γῆν ἐξ ἧς
ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτη-
ρίαν, τὴν ἐν αὐτῷ τῷ χρεστῷ σου· οὐ γὰρ ἀπεστράφης τὸ
πλάσμά σου εἰς τέλος, ὃ ἐποίησας ἀγαθὲ, οὐδὲ ἐπελάθου
ἔργου χαρῶν σου, ἀλλ' ἐπεσκέψω πολυτρόπως διὰ πολυ-
τίμα ἐλέους σου· προφήτας ἐξαπέστειλας, ἐποίησας δυνά-
μεις διὰ τῶν ἁγίων σου τῶν καθ' ἑκάστην γενεὰν εὐαρεστη-
σάντων σοι· ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου
τῶν προφητῶν, προκαταγγείλας ἡμῖν τὴν μελλούσαν ἔσε-
σθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν, ἄγγελοις ἐ-
πέτρεψας φύλακας ὅτε ἦλθε τὸ πλήρωμα τῶν καιρῶν,
ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ υἱῷ σου, δι' οὗ καὶ τοὺς αἰῶνας
ἐποίησας, ὃς ὢν ἀπαύγασμα τῆς δόξης σου, καὶ χαρακτὴρ
τῆς ὑποστάσεώς σου, φέρων τε τά πάντα τῷ ῥήματι τῆς
δυνάμεως αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοι
τῷ θεῷ καὶ πατρί· ἀλλὰ θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς
ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἐκ παρθένου
ἁγίας σαρκωθεὶς, ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λα-
βών, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώ-
σεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς
δόξης αὐτοῦ· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν
εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, οὐ δόκησιν
ὁ μονογενής σου υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις σου τοῦ θεοῦ καὶ
πατρὸς, γενόμενος ἐκ γυναικὸς τῆς ἁγίας θεοτόκου καὶ

ἀεὶ δὲ τὴν Μαρίας, γενόμενος ὑπὸ νόμον, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ, ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες, ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ χριστῷ σου· καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δυὶ προσάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ θεοῦ καὶ πατρός, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας τῷ πνεύματι τῷ ἁγίῳ, ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατεχόμεθα πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν· καὶ κατελθὼν διὰ τοῦ σταυροῦ εἰς τὸν ᾅδην, ἵνα πληρώσῃ ἑαυτοῦ τὰ πάντα, ἔλυσε τὰς ὠδῖνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὁδοποιήσας πᾶσι σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι ἐκ τοῦ δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς, ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους, ταῦτα, ἃ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολάς· μιμούμενοι γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τοῦ ἁγίου αὐτοῦ καὶ ἀχράντου χειρῶν, καὶ δυὰ δείξας σοὶ τῷ θεῷ καὶ πατρὶ, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας,

Ὁ ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετὰ εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκφώνως λέγων.

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπὼν, λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ἡμῶν

κλω-

κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ο χορὸς ψάλλει. Ἀμήν.

Ο, τι ἱερεὺς καὶ ὁ Διάκονος τὰ αὐτὰ κλῶσι τοῦ Χρυσοστόμου.

Ο ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γενήματος τῆς ἀμπέλου λαβὼν, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας,

Εκφώνως ὁ ἱερεὺς πλὴν χαίρε ἔχων ἀπωθεν μετ' δίλαβείας, καὶ δίλογῶν λέγει.

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ο χορὸς ψάλλει. Ἀμήν.

Ο ἱερεὺς κλίνας τὴν κεφαλὴν, ἐυχεται μυστικῶς.

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε. μεμνημένοι οὖν δέσποτα καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνόδου, τῆς ἐκ δεξιῶν σου τοῦ θεοῦ καὶ πατρὸς καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας,

Εκφώνως ὁ ἱερεύς.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες, κατὰ πάντα καὶ διὰ πάντα.

Ο χορὸς ψάλλει.

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν κύριε, καὶ δεόμεθά σου ὁ θεὸς ἡμῶν.

Ο ἱερεὺς κλίνας τὴν κεφαλὴν, εὐχεται μυστικῶς.

Διὰ τοῦτο δέσποτα παναγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ

Σου θυσιαστηρίῳ, ὑ διὰ τὰς δικαιοσύνας ἡμῶν· οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τ γῆς· ἀλλὰ διὰ τὰ ἔλεή σου καὶ τὰς οἰκτιρμοὺς σου, ὑς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσθέντες τὰ ἀντίτυπα τ ἁγίου σώματος καὶ αἵματος τ χριστοῦ σου, σοῦ δεόμεθα, ὁ σὲ προσκαλούμεν ἅγιε ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς, ὁ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, ὁ εὐλογῆσαι αὐτὰ, καὶ ἁγιάσαι, καὶ δυναδεῖξαι·

Ο διάκονος ἀποτίθησι τὸ ῥιπίδιον, ὅπερ ἐκρατεῖ, ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τοῦ ἱερέως, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τὸ,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ,

Λέγουσι μυστικῶς τρίς.

Κύριε ὁ τὸ παναγιον πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀφαιρεθῇς ἀφ' ἡμῶν. Καὶ τὸ,

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, ὁ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Εἶτα τῷ κεφαλῷ ἐπικλίνας ὁ διάκονος, δείκνυσι τοῦ ὠρείου τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς.

Εὐλόγησον δέσποτα τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων μυστικῶς.

Τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ.

Ο διάκονος. Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος.

Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον.

Ο δὲ ἱερεὺς εὐλογῶν λέγει.

Τοῦ

Τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ο διάκονος. Ἀμήν.

Ο ἱερεύς. Τὸ ἐκχυνόμενον ὑπὲρ τοῦ κόσμου ζωῆς.

Ο διάκονος. Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ τοῦ ὠμοφορίου τὰ ἅγια ἄμφω, λέγει.

Εὐλόγησον δέσποτα.

Ο δὲ ἱερεὺς εὐλογῶν μετὰ τοῦ χιτῶνος ἀμφότερα τὰ ἅγια, λέγει.

Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ.

Ο διάκονος. Ἀμήν. τρίς.

Καὶ τὴν κεφαλὴν ὁ διάκονος κατακλίνας τῷ ἱερεῖ, καὶ εἰπὼν ὅτι,

Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ,

Μεθίστατο ἐν ᾧ πρότερον ἵστατο τόπῳ λαβὼν καὶ ὁ ἱερεὺς αὖθις ὡς πρότερον. ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ἡμᾶς οὖν πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου μετέχοντας, ἑνώσαι ἀλλήλοις εἰς ἑνὸς πνεύματος ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρίμα ἢ εἰς κατάκριμα ποιῆσαι μεταλαβὼν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου, ἐν πίστει τετελειωμένου.

Εκφώνως.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ο χορὸς ψάλλει τό,

Ἐπὶ σοὶ χαίρει.

Εἰ δὲ ἐστὶν ἡ μεγάλη πέμπτη, ψάλλει.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον υἱὲ θεοῦ κοινωνόν με

παράλαβε· καὶ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, καὶ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου.

Εἰ δὲ ἐστὶ τὸ μέγα σάββατον, φάλλε.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτοῖς λογιζέσθω· ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, προέρχεται σφαγιασθῆναι τοῖς πιστοῖς· προηγοῦνται τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον, ἀλληλουϊα, ἀλληλουϊα, ἀλληλουϊα.

Ο δεξάκορος θυμιᾷ κύκλῳ τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα, τῶν τε ζώντων καὶ κεκοιμημένων ὧν βούλεται μνημονεύει.

Ο δὲ ἱερεὺς εὐχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεὸς, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει, ζώντων καὶ τεθνεότων· καὶ ὑπὲρ μὲν ζώντων, λέγει.

Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ θεοῦ ὁ δεῖνος.

Ὑπὲρ δὲ τεθνεότων, λέγει.

Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου ὁ δεῖνος.

Ἐν τόπῳ φωτεινῷ ἐνθα ἀπέδρα λύπη καὶ στεναγμὸς, ἀνάπαυσον αὐτοὺς ὁ θεὸς ἡμῶν. Μυστικῶς τὴν εὐχήν.

Καὶ

Καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπιποθεῖ τὸ φῶς τῶ προσώπου σου. Ἔτι σε δεόμεθα, μνήσθητι κύριε τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτήν, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ χριστοῦ σου, καὶ τὸν ἅγιον οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Μνήσθητι κύριε τῶν τὰ δῶρά σοι ταῦτα προσκομισάντων, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν, καὶ ἐφ' οἷς αὐτὰ προσκόμισαν. Μνήσθητι κύριε τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου καὶ ἐπουρανίοις χαρίσματι· χάρισαι αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα. Μνήσθητι κύριε τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

Μνήσθητι κύριε τῶν ἐν ὀρθοδοξίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι κύριε τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς· ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτοὺς· ἐπίσκιασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον αὐτῶν τὸν βραχίονα, ὕψωσον αὐτῶν τὴν δεξιάν, κράτυνον αὐτῶν τὴν βασιλείαν, ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη τὰ τοῖς πολέμοις θέλοντα· χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην· κάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς ἐκκλησίας σου καὶ παντὸς τοῦ λαοῦ σου, ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Μνήσθητι κύριε πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ τῶν ἐν παλατίῳ ἀδελφῶν ἡμῶν, καὶ παντὸς τοῦ στρατοπέδου· τοῖς ἀγαθοῖς ἐν τῇ ἀγα-

θότητι διατήρησον· τοὺς πονηροὺς, ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι κύριε τοῦ πρεσβυτέρου λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τῶν ἐλέους σου· τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ, τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον, τὴν νεότητα παιδαγώγησον, τὸ γῆρας πρεσβύτησον· τοὺς ὀλιγοψύχους παραμύθησαι, τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε, τοὺς πεπλανημένους ἐπανάγαγε καὶ συνάψον τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ· τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόσταθι, ὀρφανῶν ὑπέρασπισον, αἰχμαλώτοις ῥῦσαι, νοσοῦντας ἴασαι, τοὺς ἐν βήματι καὶ μετάλλοις καὶ ἐξορείαις καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ καὶ στενοχωρίᾳ ὄντων μνημόνευσον ὁ θεός, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας, καὶ τοὺς ἀγαπῶντας ἡμᾶς, καὶ τοὺς μισοῦντας, καὶ τοὺς ἐντειλαμένους ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. καὶ παντὸς τοῦ λαοῦ σου μνήσθητι κύριε ὁ θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα· ὧν ἡμεῖς ἐκ ἐμνημονεύσαμεν δι' ἄγνοιαν, ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον ὁ θεὸς, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν, καὶ τὴν πρόσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ· σὺ γὰρ εἶ κύριε ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπελπισμένων, ὁ τῶν χειμαζομένων σωτὴρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός· αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον καὶ τὸ αἴτημα αὐτοῦ, οἶκον καὶ τὴν χρείαν αὐτοῦ· ῥῦσαι κύριε τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ,

σμοῦ, πυρὸς, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου.

Ο μὲν Διάκονος ἐπιστρέφει πρὸς τὴν θύραν τοῦ ἁγίου βήματος, κρατῶν τὸ ὠράριον ἄκροις τοῖς δακτύλοις, καὶ λέγει.

Καὶ πάντων καὶ πασῶν.

Ο δὲ χορὸς ψάλλει.

Καὶ πάντων καὶ πασῶν.

Ο δὲ ἱερεὺς ἐκφωνεῖ.

Ἐν πρόσοις μνήσθητι κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν, τοῦδε, ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῴζον, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ Διάκονος λέγει πρὸς τὴν θύραν ἁγίας, Τοῦ, ὁ δεῖνος, πανιερωτάτου μητροπολίτου, ἢ ἐπισκόπου, ὅστις δὴ ἦ.

Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα ταῦτα εὐλαβεστάτου ἱερέως, ὁ δεῖνος.

Καὶ ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν. Καὶ πάντων & πασῶν.

Καὶ ὁ χορὸς ψάλλει.

Καὶ πάντων καὶ πασῶν.

Ο δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι κύριε πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι κύριε κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀναξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα, ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου πνεύματος, ἀπὸ τῶν προκειμένων δώρων.

Μνήσθητι κύριε τοῦ πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, & παντὸς ἱερατικοῦ τάγματος· καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον.

ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου κύριε, ἐπιφώνησον ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς· εὐκράτοις καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμβροις τῇ γῇ πρὸς καρποφορίαν δώρησαι· εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· παῦσον τὰ σκάματα τῶν ἐκκλησιῶν· σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν, τὰς τῶν αἱρέσεων ἐπανάστασις ταχέως κατάλυσον, τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος· πάντας ἡμᾶς ἀξίωσον δεξαι εἰς τὴν βασιλείαν σου, υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας· τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν κύριε ὁ θεὸς ἡμῶν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Εκφώνως ὁ ἱερεύς.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ὑμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπές ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ο ἱερεὺς ὑπαιρέφει τὴν θύραν, καὶ εὐλογῶν λέγει ἐκφώνως.

Καὶ ἔσται τὰ ἐλέη τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν.

Καὶ ὁ ψάλτης ἐξέρχεται εἰ ἔστιν, εἰ δὲ μὴ ὁ ἱερεὺς καὶ στὰς ἐν τῷ σκευοφυλακίῳ τόπῳ, λέγει.

Πρώτων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Καὶ τὰ λοιπὰ ὡς ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

Ὑπὲρ τῶν προσκομιζόντων. Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς.

Ο ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν

σεῖν σοι ἀξίως τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας καὶ ποιεῖς μεθ' ἡμῶν. σὺ ὁ θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἁγιωσύνην ἐπιτελεῖν ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδεχόμενοι τὴν μετάδοσιν τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ σώματι καὶ αἵματι τοῦ χριστοῦ σου, καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, φῶμεν τὸν χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, καὶ γενώμεθα ναὸς τοῦ ἁγίου σου πνεύματος. ναὶ ὁ θεὸς ἡμῶν, καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων μυστηρίων, μηδὲ ἀσθενῆ ψυχὴν καὶ σώματι, ἐκ τοῦ ἀναξίως τούτων μεταλαμβάνειν· ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν ἐλπίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ χριστοῦ σου, ὅπως καὶ ἡμεῖς μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε κύριε.

Ο Ψάλλων εἰ ἔστι, τὰ εἰρηνικά, ὡς καὶ ἐν τῇ τοῦ Χρυσοστόμου.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον. Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν. Τὴν ἐνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν.

Εκφώνως ὁ ἱερεύς.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παρρησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον θεὸν

πατέρα καὶ λέγειν. Ο χορὸς δ', Πάτερ ἡμῶν.

Εκφώνως ὁ ἱερεύς.

Ὅπου ἐστὶν ἡ βασιλεία καὶ ἡ δυνάμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ο ἱερεύς. Εἰρήνη πᾶσιν.

Ο χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ο διάκονος.

Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνωμεν.

Κλίνας γοῦν ὁ διάκονος μικρὸν τὴν κεφαλὴν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός.

Ο ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Δέσποτα κύριε, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς, εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, σύνδυναμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον· παντὶ δὲ ἔργῳ ἀγαθῷ σύνταξον, καὶ καταξίωσον ἀκατακρίτως μετέχειν τῶν ἀχράντων σου καὶ ζωοποιῶν μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς πνεύματος ἁγίου κοινωνίαν.

Εκφώνως ὁ ἱερεύς.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ο ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες κύριε Ἰησοῦ χριστὲ ὁ θεὸς ἡμῶν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς ὁ δοὺς τῷ πατρὶ συγκαθήμενος,

μνος, καὶ ὧδε ἡμῖν ἀοεάτως σεῖωών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χεὶ μεταδοῦναι ἡμῖν τ᾽ ἀχεάντου σώματός σου, καὶ τ᾽ τιμίου αἵματος, καὶ δι᾽ ἡμῶν παντὶ τῷ λαῷ.

Καὶ ταῦτα ὅ, τε ἱεεὰς καὶ ὁ Διάκονος τὰ αὐτὰ καὶ λέγοισι καὶ ποιοῦσι τῇ τ᾽ Χρυσοστόμου λειτουργίᾳ.

Ο διάκονος ἐκφωνεῖ. Πρόσχωμεν.

Καὶ ὁ ἱεεὰς. Τὰ ἅγια τοῖς ἁγίοις.

Καὶ ὁ χοεός.

Εἷς ἅγιος, εἷς κύειος Ἰησοῦς χεισὸς εἰς δόξαν θεοῦ πατεός, Ἀμήν.

Καὶ ἐν ταῦτα καὶ ὁ χοεὸς τ᾽ αὐτ᾽ ψάλλει τῇ τ᾽ Χρυσοστόμου ἱεεουργίᾳ, καὶ ὁ ἱεεὰς καὶ ὁ διάκονος, καὶ ἐν τῇ ζέσει, καὶ ἐν τοῦ μνησμῷ, καὶ ἐν τῇ κοινωνίᾳ, καὶ ἐν ταῖς εὐχαῖς, καὶ θεησκείαις ταῦτα καὶ λέγοισι καὶ ποιοῦσι τῇ τ᾽ Χρυσοστόμου. Ο ἱεεὰς ἐπεύχεται μυστικῶς.

Εὐχαεισοῦμέν σοι κύειε ὁ θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχεάντων καὶ ἐπουεανίων σου μυστηείων, ἃ ἔδωκας ἡμῖν ἐπὶ εὐεγεσίᾳ τ᾽ ἁγιασμοῦ καὶ ἰάσει τ᾽ ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· αὐτὸς δέσποτα τῶν ἁπάντων δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τ᾽ ἁγίου σώματος καὶ αἵματος τ᾽ χεισοῦ σου, εἰς πίστιν ἀκατάγκλυτον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποθήκην παντὸς συνοικείου, εἰς ἐκποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπροσδέκτον τὴν ἐπὶ τ᾽ φοβεοῦ βήματος τ᾽ χεισοῦ σου.

Ο διάκ. ἐν τοῦ σιωπῆ τύπῳ τὰς, λέγει.

Ὀρθοὶ, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχεάντων, ἀθανάτων, ἐπουανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαειστήσωμεν τῷ κυρίῳ.

Ο χοεός. Κύριε ἐλέησον.

Ο διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν.

Εκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ο διάκονος. Ἐν εἰρήνῃ προσέλθωμεν.

καὶ αὖθις. Τοῦ κυρίου δεηθῶμεν.

Εὐχὴ ὀπισθάμβωνος, ἐκφωνουμένη παρὰ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θείᾳ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. εἰρήνευε τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Ο χορὸς ψάλλει τό,

Εἴη τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. πολ.

Καὶ τὸν ψαλμόν.

Εὐλογήσω τὸν κύριον. ἢ τοῦ ἁγίου τῆς ἡμέρας.

Εὐχὴ ὑπὸ τῶν συστείλαντα ἅγια μυστικῶς.

Ἤνυσται καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν, χαρισάμενος ὁ θεὸς ἡμῶν, τὸ τῆς σῆς οἰκονομίας μυστήριον· ἐφο-

μῶν

μῶν γὰρ τοῦ θανάτου σου τὴν μνήμην, εἴδομεν τῆς ἀναστάσεώς σου τὸν τύπον· ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς· ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς, ἧς καὶ ἐν τῷ μελλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον, χάριτι τοῦ ἀγαθοῦ σου παιδὸς σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν εὐχὴν ἐξέρχεται ὁ ἱερεὺς, καὶ δίδωσι τὸν ἀσπασμὸν· καὶ λέγει καὶ ποιεῖ καθὼς ἄνω καὶ ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ.

ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΘΕΙΑΣ ΙΕΡΟΥΡΓΙΑΣ, ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

ΜΕΛΛΩΝ Ο ΙΕΡΕΥΣ ΤΗΝ ΘΕΙΑΝ ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει εἰς προσευχὴν ἐξομολογημένος, καὶ μετὰ πόνων κατηλλαγμένος, καὶ τὴν καρδίαν ὅσην δυνάμις, καθαρὰν τετηρηκὼς ἀπὸ πονηρῶν λογισμῶν, ἐγκρατεύσας τε ἀφ' ἑαυτοῦ, καὶ ἐγρηγορηκὼς μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ· τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ ὃ ποιήσας τὴν συνήθη τοῦ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ ναῷ, καὶ σταθεὶς τῷ διακόνῳ, ποιοῦσιν ὁμοῦ προὸς ἀνατολὰς προσκυνήματα τρία, ἔμπροσθεν τῆς εἰκόνος τοῦ σωτῆρος καὶ τῆς ὑπεραγίας θεοτόκου, καὶ εἰς τοὺς δύο χοροὺς ἀνὰ ἕν. ὅτε δὲ προσκυνοῦσι, λέγουσι μυστικῶς τὴν εὐχὴν ταύτην.

ΚΥΡΙΕ ὁ θεὸς ἡμῶν ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως στῶ τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω· ὅτι σοῦ ἐστὶν ἡ δυνάμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ελθόντες δὲ εἰς τὸ ἱερατεῖον, λαμβάνουσιν ἕκαστος ἐν ταῖς χερσὶν αὐτῶν τὸ στιχάριον ἑαυτῶν, καὶ ποιοῦσι προσκυνήματα πρὸς κατ' ἀναπλάς, λέγοντες καθ' ἑαυτοὺς τὸ,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Εἶτα ὁ ψάλτης προσέρχεται τῷ ἱερεῖ, ὑποκλίνας τὴν κεφαλήν, κρατῶν καὶ ἐν τῇ χειρὶ τῇ δεξιᾷ τὸ στιχάριον σὺν τῷ ὠραρίῳ, λέγων.

Εὐλόγησον δέσποτα τὸ στιχάριον σὺν τῷ ὠραρίῳ.

Ο δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς, λέγει.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑποχωρεῖ ὁ ψάλτης καθ' ἑαυτὸν εἰς ἓν μέρος τοῦ ἱερατείου, καὶ ἐνδύεται τὸ στιχάριον, εὐχόμενος οὕτως.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσέ με γὰρ ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κεκόσμηκέ με κόσμῳ.

Καὶ τὸ μὲν ὠράριον ἀσπάζεται, ὑπτιάζων τῷ ἀριστερῷ ὤμῳ. ὁ δὲ ἱερεὺς λαβὼν καὶ αὐτὸς τὸ στιχάριον, εὐλογεῖ αὐτὸ, καὶ ἀσπάζεται, ἐνδύεται, λέγων καθ' ἑαυτὸν τὸν ψαλμὸν τὸν πρότερον ῥηθέντα, ὅμοιον τῷ διακόνῳ. καὶ λαβὼν ὁ ἱερεὺς τὰ ἐπιμανίκια, ἐν μὲν τῇ δεξιᾷ χειρὶ, λέγει οὕτως.

Ἡ δεξιά σου χεὶρ κύριε δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου κύριε ἔθραυσεν ἐχθροὺς, καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. ἡ δεξιά κυρίου ἐποίησε δύναμιν.

Εν δὲ τῇ ἀριστερᾷ χειρὶ, λέγει οὕτως.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.

Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον, καὶ εὐλογήσας, ἀσπάζεται· καὶ ἐνδύεται ὑπὲρ τοῦ τραχήλου αὐτοῦ, λέγει.

Εὐλογητὸς ὁ θεὸς ὁ ἐκχέων τὸν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ τὸν πώγωνα τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὤρας τοῦ ἐνδύματος αὐτοῦ, ὡς δρόσος Ἁρμών, ἡ κατα-

βαίνου-

βαίνουσα ἐπὶ τὰ ὄρη Σιών, ὅπ ἐκεῖ συνετείλατο κύριος τ̄ εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

Καὶ λαβὼν τὴν ζώνην, καὶ εὐλογήσας ἀσπάζεται, καὶ λέγει.

Εὐλογητὸς ὁ θεὸς ὁ περιζωννύων με δυνάμιν, καὶ ἐκχέων τὴν χάριν αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ ἱερωμενάτιον λαβὼν, εἴ ἐστι περιστοιχέλος τ̄ μεγάλης ἐκκλησίας, ἢ ἄλλος τις ἔχων ἀξιότητά τινα, καὶ εὐλογήσας αὐτὸ καὶ ἀσπασάμενος λέγει.

Περιέζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατὲ τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν τὸ φαιλόνιον, καὶ εὐλογήσας ἀσπάζεται, καὶ λέγει.

Οἱ ἱερεῖς σου κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπελθόντες εἰς τ̄ θέσιν, νίπτουσι τὰς χεῖρας, λέγοντες.

Νίπτομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου· κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου· μὴ σὺν ἀπολέσῃς μετ' ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετ' ἀνδρῶν αἱμάτων τ̄ ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με κύριε, καὶ ἐλέησόν με· ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε κύριε.

Ο ὑποδιάκονος ὑπερεπίζει τὰ ἱερά, τὸν μὲν ἅγιον δίσκον ἐν τῷ μέρει τῷ ἀριστερῷ. τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ δῶρα σὺν αὐτοῖς. εἶτα

προσκυνήματα πρὸς ἔμπροσθεν τῆς προθέσεως ποιούμενος, λέγουσιν ἕκαστος ὅ,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με. καὶ ὅ, Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ ἡμέτερῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθείς, καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, σωτὴρ ἡμῶν· δόξα σοι. Εἶτα λέγει ὁ ψάλτης. Εὐλόγησον δέσποτα.

Καὶ πάλιν ὁ ἱερεὺς εὐλογεῖ.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει ὁ ἱερεὺς, οὐ μὴν τῇ ἀριστερᾷ χειρὶ, τὴν προσφορὰν· οὐ δὲ τῇ δεξιᾷ, τὴν ἀγίαν λόγχην· καὶ σφραγίζων σὺν αὐτῇ ἐπάνω τῆς σφραγῖδος τῆς προσφορᾶς, τρὶς λέγει.

Εἰς ἀνάμνησιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Καὶ οὗτος πάλιν τὴν ἁγίαν λόγχην οὐ τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, καὶ ἀναπέμπων λέγει.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Εἰς τὸ ἀριστερὸν ὁμοίως πάλιν τὴν ἁγίαν λόγχην, λέγει.

Καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Εἰς τὸ ἄνω μέρος τοῦ σφραγῖδος πάλιν τὴν ἁγίαν λόγχην, λέγει.

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Εἰς δὲ τὸ κάτω μέρος τῆς σφραγῖδος πάλιν πάλιν τὴν ἁγίαν λόγχην, λέγει.

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται.

Ὁ δὲ ψάλτης οὐ ἐκφέρει αὐτὰ φωνῇ λέγει.

Τοῦ κυρίου δεηθῶμεν.

Κρατῶν δὲ ὁ ἱερεὺς αὐτὸν οὐ τῇ δεξιᾷ, μετὰ ταῦτα λέγει ὁ ψάλτης.

Ἔλεον δέσποτα.

Καὶ ὁ ἱερεὺς ἐμβαλὼν τὴν ἁγίαν λόγχην οὐ πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὴν ἅγιον ἄρτον, λέγων οὕτως.

Ὅτι

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, πάντοτε νικῶ καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λαβὼν αὐτὸν ὑπῆρον ἐν τῷ ἁγίῳ δίσκῳ, εἰπόντος τοῦ διακόνου.

Θῦσον δέσποτα.

Ὁ ἱερεὺς θυμιᾷ αὐτὸν τρισσῶς, λέγων.

Θύεται ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Καὶ τρέφει τὸ ἔπειρον μέρος τὸ ἔχον ἐπάνω τὸν τραχήλον, καὶ λέγει ὁ διάκονος.

Νύξον δέσποτα.

Ὁ δὲ ἱερεὺς νύττων αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς ἁγίας λόγχης, λέγει.

Καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

Ὁ δὲ διάκονος ἐγχεῖ ἐν τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος καὶ ὕδατος, τρέπει τὸν τῶν ἱερέων ἀριθμόν.

Εὐλόγησον δέσποτα τὴν ἕνωσιν ταύτην.

Καὶ ὁ ἱερεὺς εὐλογεῖ. Εἶτα λαβὼν ὁ ἱερεὺς τὴν δευτέραν προσφορὰν, λέγει.

Εἰς ἰσμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι κύριε τὴν θυσίαν ταύτην εἰς τὸ ὑπουράνιόν σου θυσιαστήριον.

Καὶ ἄρας μερίδα μετὰ τῆς ἁγίας λόγχης, ἴθησιν ἐξ ἀριστερῶν τοῦ ἄρτου. εἶτα λαβὼν τὴν τρίτην προσφορὰν, λέγει.

Τοῦ ἱερέως ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων τῶν ἐν ἁγίοις πατέρων ἡμῶν ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, καὶ Ἰωάννου τοῦ χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου, Νικολάου τοῦ ἐν μύροις, καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν· τοῦ ἁγίου ἀποστόλου

προτομάρτυρος καὶ ἀρχιδιακόνου, Στεφάνου· τῶν ἁγίων μεγάλων μαρτύρων, Γεωργίου, Δημητρίου, Θεοδώρου, καὶ πάντων τῶν ἁγίων μαρτύρων· τῶν ὁσίων θεοφόρων πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάβα τοῦ ἡγιασμένου, Ὀνοφρίου, Ἀρσενίου, Ἀθανασίου τοῦ ἐν τῷ ἄθῳ, καὶ πάντων τῶν ὁσίων· τῶν ἁγίων καὶ ἰαματικῶν ἀργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Θαλλαλαίου καὶ Τρύφωνος, καὶ τῶν λοιπῶν· τῶν ἁγίων δικαίων θεοπατέρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου ὁ δεῖνος, τοῦ κατὰ τὸν ἡμέρων δηλονότι. καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός.

Καὶ οὕτως ἄρων τὸν μερίδα, ἀθῆσιν αὐτὸν ἐπὶ τὴν ἀριστερὰν μέρος, εἶτα λαβὼν ἑτέραν προσφορὰν, λέγει.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὁ δεῖνος.

Τοῦ ἱερείου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν ἀειμνήστων κεκοιμημένων τῆς ἁγίας μονῆς ταύτης.

Ἐνθάδε καὶ ζώντων καὶ τεθνεώτων, ὧν ἐθέλει ὁ ἱερεὺς μνημονεύειν ὀνόματι.

Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως καὶ ζωῆς αἰωνίου τῆς κοινωνίας κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε κύριε συγχώρησον.

Καὶ οὕτως ἄρων τὸν μερίδα, ἀθῆσιν αὐτὸν ἐπὶ τὴν ἀριστερὰν μέρος. εἶτα λαβὼν ὁ ψάλτης τὸ θυμιατήριον καὶ τὸ θυμίαμα, λέγει πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὸ θυμίαμα, καὶ τὸν κύριόν σου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς λέγει τὸν εὐχήν.

Θυμίαμά σοι προσφέρομεν χριστὲ ὁ θεὸς εἰς ὀσμὴν εὐω-

δωδίας πνευματικῆς, ἵνα προσδέξῃ δέσποτα εἰς τὸ ἅγιον σου ὑπουράνιον καὶ νοερόν σου θυσιαστήριον σου ἀντικατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμοὺς σου, καὶ δώρησαι ἡμῖν αὐτὰ τοῖς δούλοις σου τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο Διάκονος. Τοῦ κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς θυμιάσας τὸν ἀστερίσκον, τίθησιν αὐτὸν ἐπάνω τοῦ ἄρτου, καὶ λέγει.

Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον κείμενον, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο Διάκονος. Τοῦ κυρίου δεηθῶμεν.

Ο ἱερεὺς θυμιάσας τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον ἄρτον, καὶ λέγει.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο κύριος δύναμιν καὶ περιεζώσατο· καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε εἰς μακρότητα ἡμερῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ο Διάκονος.

Τοῦ κυρίου δεηθῶμεν. Κάλυψον δέσποτα.

Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, καὶ σκεπάζων τὸν ἅγιον ποτήριον, λέγει.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ο Διάκονος.

Τοῦ κυρίου δεηθῶμεν. Σκέπασον δέσποτα.

Καὶ ὁ ἱερεὺς θυμιῶν τὸν ἀέρα, καὶ σκεπάζων ἀμφότερα, λέγει.

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ὁ θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα δίσταντες ἀμφότεροι τὰς χεῖρας, καὶ προσκυνήσαντες βύλαβῶς, λέγουσιν.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν ὁ οὕτως εὐδοκήσας, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο διάκονος ὑπὲρ τῆς προθέσεως τῶν ἁγίων δώρων.

Τοῦ κυρίου δεηθῶμεν.

Ο ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως.

Ὁ θεὸς ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπουράνιόν σου θυσιαστήριον· μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Εκφώνως.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν εὐχὴν θυμιᾷ τὴν πρόθεσιν, καὶ ποιεῖ ἀπόλυσιν, λέγων.

Δόξα σοι Χριστὲ ὁ θεὸς ἡ ἐλπὶς ἡμῶν. Ο διάκονος.

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ο ἱερεύς.

Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι ἡμᾶς ὡς ἀγαθὸς θεὸς καὶ φιλάνθρωπος. Ο χορός. Ἀμήν.

Καὶ ὅτω λαβὼν ὁ διάκονος τὸ θυμιατήριον, ἀποτίθεται, καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ' ἑαυτόν.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς, ὡς θεός· ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες χριστὲ μετὰ πατρὸς καὶ πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Καὶ λέγει τὸν πεντηκοστὸν ψαλμόν. Ἐλέησόν με ὁ θεός.

Καὶ ἐν ᾧ θυμιάσας τὸ, τε ἱερατεῖον καὶ τὸν ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον βῆμα, καὶ θυμιάσας αὖθις τὴν ἁγίαν τράπεζαν καὶ τὸν ἱερέα, τὸ μὴν θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ· αὖτος δὲ προσέρχεται τῷ ἱερεῖ. καὶ στάντες ὁμοῦ περὶ τῆς ἁγίας τραπέζης, καὶ προσκυνοῦντες καθ' ἑαυτοὺς, καὶ διχόμενοι, λέγουσι τὸ,

Βασιλεῦ οὐράνιε παράκλητε τὸ πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ ἐνοικήσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν. τὸ, Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ τῆς γῆς. εἰς. καὶ τὸ, Κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὰ ἑξῆς ἅπαξ.

Εἶτα ἀσπάζεται, ὁ μὴν ἱερεὺς, τὸ εὐαγγέλιον· ὁ δὲ διάκονος, τὴν ἁγίαν τράπεζαν. εἶτα ὁ διάκονος ἀποκλίνας τὴν κεφαλὴν τῷ ἱερεῖ, κρατῶν καὶ τὸ ὠράριον ἑαυτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς λέγει.

Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ. δέσποτα εὐλόγησον.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει.

Εὐλογητὸς ὁ θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ο διάκονος. Εὖξαι ὑπὲρ ἐμοῦ δέσποτα. Ο δὲ ἱερεύς. Κατευθύναι κύριος τὰ διαβήματά σου. καὶ πάλιν ὁ διάκονος. Μνήσθητί μου δέσποτα. Ο ἱερεύς. Μνησθείη σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ διάκονος. Ἀμήν. Ἀμήν. Ἀμήν.

Καὶ προσκυνήσαντες τρεῖς, λέγουσι καθ' ἑαυτούς.

Κύριε τὰ χείλη μου ἀνοίξεις. καὶ τὰ ἑξῆς.

Καὶ μετὰ τοῦτο ἐξέρχεται ὁ διάκονος τοῦ βήματος, καὶ προσκυνήσας τρεῖς, λέγει ἐκφώνως.

Εὐλόγησον δέσποτα.

Ο διάκονος ἐκφώνως λέγει.

Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ο διάκονος ἐκφώνως. Ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὁ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τῶν στρατοπέδου αὐτῶν, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διά-

Ο διάκονος. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. Ο χορός. Κύριε ἐλέησον.

Εὐχὴ ἀντιφώνου τοῦ μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, τὸ κράτος σου εἰκάσον, καὶ ἡ δόξα ἀκατάληπτος, τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτὸς δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Τοῦ ἱερέως λέγοντος τὴν εὐχὴν μυστικῶς ἐν τῷ βήματι, ἐν τῷ αὐτῷ καιρῷ ὁ διάκονος λέγει ἔξω τοῦ βήματος τὰ εἰρηνικά· εἰ δὲ οὐκ ἔστι διάκονος, ὁ ἱερεὺς μετὰ τὴν εὐχὴν λέγει τὴν ἐκφώνησιν, καὶ μετὰ ταῦτα τὰ εἰρηνικά. Ο διάκονος.

Ἀνταναβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθέ-

νου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο χορός. Σοὶ κύριε.

Εκφώνως ὁ ἱερεύς.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Μετὰ τὰ εἰρηνικά, ὁ χορὸς ψάλλει τὸ πρῶτον αἰτίφωνον, ἢ τὰ τυπικά, εἰ ἔστι κυριακή, εἴτ' οὖν τῆς ἡμέρας.

Εὐχὴ αἰτιφώνου δευτέρου μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θείᾳ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Σημειώσαι καὶ ἐνθαῦθα ὡς καὶ ἐν τῇ εὐχῇ τῇ πρώτῃ, εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστιν. ὁ διάκονος.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ἀντιλάβου, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο χορός. Σοὶ κύριε.

Εκφώνως ὁ ἱερεύς.

Ὅτι

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δυνάμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Μετὰ τὸν εἰρηνικὸν τὸν δεύτερον, φάλλει ὁ χορὸς τὸ δεύτερον αἰτιφωνον, καὶ τὸν τρίτον τὸν δεύτερον, εἰ ἔστι κυριακὴ, εἰ δὲ μὴ τῆς ἡμέρας.

Εὐχὴ αἰτιφώνου τρίτου μυστικῶς.

Ὁ τὰς κοινὰς ἰαύτας καὶ συμφώνοις ἡμῖν χαρισάμενος προσευχὰς, ὁ καὶ δύο καὶ τρεῖς συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις πλήρωσον ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τοῦ δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μελλοντι ζωὴν αἰώνιον χαρισάμενος.

Σημείωσον καὶ ἐπίλαβε ὅτι καὶ ἐν τῇ τῶν προσευχῶν τῶν δευτέρων εἰ ἔστι διάκονος, ἢ οὐκ ἔστι. Ο διάκονος.

Ἔτι καὶ ἔτι σὺν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ἄνωθεν, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πάσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα.

Ο χορός. Σοὶ κύριε.

Εκφώνησις ὁ ἱερεύς.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ

πνεύματι, νυν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ἐνταῦθα ὁ χορὸς ψάλλει τὸ τρίτον ἀντίφωνον, ἢ τὸν τριτέκτιον· εἰ δὲ καὶ ἐστὶ κυριακή, ψάλλει τοὺς μακαρισμοὺς, καὶ τὸν ἁγίου τῆς ἡμέρας. ὅτε δὲ ἔλθῃ ὁ χορὸς εἰς τὸ, Δόξα πατρὶ, ὁ ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας τραπέζης ποιοῦσι προσκυνήματα τρία.

Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, δίδωσι τῷ διακόνῳ, καὶ οὕτως ἐξιόντες διὰ τῶν θυρῶν τοῦ βορείου μέρους, ἔρχονται εἰς τὸν σύνηθη τόπον, καὶ ποιοῦσι τὴν μικρὰν εἴσοδον, καὶ κλίνουσιν ἀμφότεροι τὰς κεφαλὰς, καὶ τὸν διάκονον εἰπόντος ῥῆμα.

Τοῦ κυρίου δεηθῶμεν.

Ἅμα καὶ τὸ ὠφέλιμον κρατοῦντος, τοῖς τρισὶ δακτύλοις, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου.

Εὐχὴ τῆς εἰσόδου τοῦ ἁγίου εὐαγγελίου μυστικῶς.

Δέσποτα κύριε ὁ θεὸς ἡμῶν, ὁ καταξιώσας ἐν ὑψηλοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Εκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νυν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Τῆς εὐχῆς δὲ τελειωθείσης, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὴν ἁγίαν εἴσοδον. δεικνύων ἅμα καὶ πρὸς ἀναπλαὶ μετὰ τοῦ ὠφελείου.

Καὶ ὁ ἱερεὺς ποιῶν σφραγῖδα μετὰ ἀναπλαὶ, λέγει.

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε νυν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ διάκονος προσέρχεται πρὸς τὸν ὀπίσθιον, καὶ ἀσπάζεται τὸ εὐαγγέλιον, εἰ τύχοι, εἴ τ' οὖν ἀσπάζεται ὁ ἱερεύς. καὶ τοῦ τελευταίου δὲ ἐσπερινοῦ πληρωθέντος, εἰσέρχεται ὁ διάκονος εἰς τὸ μέσον, καὶ σφᾶς ἔμπροσθεν τοῦ ἱερέως, αἴρει μικρὸν τὰς χεῖρας, καὶ δεικνύων τὸ ἅγιον εὐαγγέλιον, λέγει ὀκφώνως.

Σο-

Σοφία ὀρθί. Εἶτα προσκυνήσας αὐτός τε καὶ οἱ ἱερεῖς κατόπιθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα· καὶ ὁ μὲν διάκονος ἀποτίθησι τὸ ἅγιον δισκάριον ἐν τῇ ἁγίᾳ τραπέζῃ· οἱ δὲ ψάλλοντες, λέγουσι τὰ στιχηρὰ τῆς ἐσπέρας, καὶ τὸν κανὼν τῆς ἡμέρας ἁγίου· καὶ ὅταν ἔλθωσιν εἰς τὸ τέλος, ὁ διάκονος πρὸς τὸν ἱερέα, λέγει, κλίνων τὴν ἑαυτοῦ κεφαλήν, καὶ τὸ ὠφέλιον ἐν τῇ δεξιᾷ κρατῶν.

Εὐλόγησον δέσποτα τὸν καιρὸν τοῦ τρισαγίου.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτόν, λέγει.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, παντοτεινῷ τε καὶ ἀεί.

Τοῦ δὲ Ἑσπερινοῦ πληρωθέντος, ἔρχεται ὁ διάκονος ἐπὶ τὴν ἁγίων θύραν, καὶ δείκνυσι τὸ ὠφέλιον τοῖς ἐκεῖσε λέγων ἐκφώνως.

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ χορός. Ἀμήν.

Τοῦ δὲ χοροῦ ψάλλοντος τὸ τρισάγιον, οἱ ἱερεῖς δύνανται μυστικῶς.

Εὐχὴ τοῦ τρισαγίου μυστικῶς.

Ὁ θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντὶ σοῦ χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτουῦσι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτὸς δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου· συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς

ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων. Εκφωνῶς.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ταύτης δὲ τελεσθείσης, καὶ τοῦ χοροῦ ψάλλοντος τὸ, Δόξα καὶ νῦν. ψάλλουσι καὶ ἄδει ὅ, τε ἱερεὺς καὶ ὁ διάκονος τὸ τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

Εἶτα λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα.

Καὶ ἀπαρχόμενος ἐν τῇ καθέδρᾳ. καὶ ὁ ἱερεὺς λέγει ἀπαρχόμενος.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Ο δὲ διάκονος.

Εὐλόγησον δέσποτα τὴν θείαν καθέδραν.

Καὶ ὁ ἱερεύς.

Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρισαγίου, ὁ ψάλτης ᾄδων ἔμπροσθεν τῆς θύρας, λέγει.

Πρόσχωμεν.

Καὶ ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ο ψάλτης. Σοφία.

Καὶ ὁ ἀναγνώστης ἀρχεται. Ἀλληλουϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ ὁ ψάλτης αὖθις. Πρόσχωμεν.

Ο ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου καὶ τῆς ἡμέρας.

καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

Καὶ τοῦ ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς.

Εἰρήνη σοι. Ο διάκονος. Σοφία.

Καὶ ὁ χορεύς τὸ, Ἀλληλουϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ

Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν. ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου καὶ τῆς ἡμέρας. Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

καὶ τοῦ ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ ὁ ἱερεύς.

Εἰρήνη σοι. ὁ διάκονος. Σοφία. Καὶ ὁ χορός, τὸ, Ἀλληλουϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ τὸ θυμίαμα, προσέρχεται τῷ ἱερεῖ, λέγων.

Εὐλόγησον δέσποτα τὸ θυμίαμα.

Τοῦ δὲ ἱερέως εὐλογοῦντος, καὶ τὸ εὐχὴν εἰπόντος ταύτην.

Θυμίαμα σοι προσφέρομεν χριστὲ ὁ θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικατάπεμψον ἡμῖν τὴν θείαν χάριν τοῦ παναγίου σου πνεύματος, παντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν κύκλῳ, τὸ ἱεραρτεῖον ὅλον, καὶ τὸν ἀέρα. καὶ μετὰ τοῦτο τὸ θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν ἱερέα· καὶ κλίνας αὐτῷ τὴν κεφαλὴν, κρατῶν καὶ τὸ ὠράριον σὺν τῷ ἁγίῳ εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ τῆς ἁγίας τραπέζης, λέγει.

Εὐλόγησον δέσποτα τὴν εὐαγγελικὴν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε. ὁ δὲ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει.

Ὁ θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε, δώη σοι ῥῆμα εἰς τὸ εὐαγγελίσασθαι τὸ εὐαγγελιζομένῳ δυνάμει πολλῇ.

Καὶ ὁ διάκονος εἰπὼν τὸ, Ἀμήν. καὶ προσκυνήσας μετὰ εὐλαβείας τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν προπορευομένων καὶ λαμπάδων καὶ θυμιαμάτων, ἔρχεται καὶ ἵσταται ἄνω ἐν τῷ ἀμβωνι, ἢ ἐν τῷ τεταγμένῳ τόπῳ. ὁ δὲ ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας τραπέζης. βλέπων πρὸς δυσμὰς, ἐκφωνεῖ.

Σοφία ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Καὶ ὁ διάκονος. ἐν τῇ κοινῇ τοῦδε ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. καὶ ὁ ἱερεύς.

Πρόσχωμεν. Τοῦ δὲ εὐαγγελίου πληρωθέντος, λέγει πρὸς τὸν διάκονον ὁ ἱερεύς. Εἰρήνη σοι. Καὶ ὁ διάκονος ἐξελθὼν ἕως τῶν ἁγίων θυρῶν, ἀποδίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ ἱερεῖ. εἶτα ἐν ᾧ σὺν τῷ τόπῳ στᾶς, ἄρχεται οὕτως.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν. Ο χορός. Κύριε ἐλέησον.

Ο ἀρχιδιάκονος. Κύριε παντοκράτορ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον.

Ο χορός. Κύριε ἐλέησον.

Ο ἀρχιδιάκονος. Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου κύριε ἐπάκουσον.

Ο χορός. Κύριε ἐλέησον.

Ο ἀρχιδιάκονος. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ κύριον τὸν θεὸν ἡμῶν ἐπιπλέον σπουδάσαι καταυοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον. Ο χορός. Κύριε ἐλέησον.

Ο ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν προσδέξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τῶν ἐλέους σου, καὶ τοῖς οἰκτιρμοῖς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸν παρὰ σοῦ πλούσιον ἔλεον. Εκφώνησις.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ο ἀρχιδιάκονος. Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ.

Ο χορός. Κύριε ἐλέησον.

Ο ἀρχιδιάκονος. Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ κύριος αὐτοὺς ἐλεήσῃ.

Ο χορός. Κύριε ἐλέησον.

Ο ἀρχιδιάκονος. Κατηχήσῃ αὐτοῖς τὸν λόγον τῆς ἀληθείας.

Ο χο-

Ο χρεός. Κύριε ἐλέησον.

Ο διάκονος. Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ο χρεός. Κύριε ἐλέησον.

Ο διάκονος. Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

Ο χρεός. Κύριε ἐλέησον.

Ο διάκονος. Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτοὺς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο χρεός. Κύριε ἐλέησον.

Ο διάκονος. Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε.

Ο χρεός. Σοὶ κύριε.

Εὐχὴ κατηχουμένων περὶ τῆς ἀγίας ἀναφορᾶς, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν καὶ θεὸν τὸν κύριον ἡμῶν Ἰησοῦν χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοὶ τὸν ἑαυτῶν αὐχένα· καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ. Εκφώνως.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπές ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χρεός. Ἀμήν.

Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ ἱερεὺς τὸ εἰλητόν, καὶ κατὰ τὸ σύνηθες ἐξαπλοῖ.

Ο διάκονος. Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε. μή τις τῶν κατηχουμένων. ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Εὐχὴ πιστῶν προφῶν μετὰ τὸ ἀπολυθῆναι τὸν εἰληφότα, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παρεστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι ὁ θεὸς τὴν δέησιν ἡμῶν, ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας δι' αἱμάτων ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου, ἀκατακρίτως καὶ ἀπροσκόπτως ἐν καθαρᾷ τῇ μαρτυρίᾳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούσῃς ἡμῶν, ἵλεως ἡμῖν εἶναι ἐν τῷ πλήθει τῆς ἀγαθότητος.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικά, εἰ ἔστιν, ἔξω τοῦ ἁγίου βήματος ἐν τῷ συνήθεσι τόπῳ.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τῶν κυρίου δεηθῶμεν,

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διά-

Ο διάκονος. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον.

Ο διάκονος. Σοφία.

Ο ἱερεὺς ἐκφώνως.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Εὐχὴ πιστῶν δευτέρα, ἣν ὁ ἱερεὺς μυστικῶς λέγει.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δώῃς ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὸν προσάγειν τὸν ἅγιόν σου θυσιαστήριον. χάρισαι δὲ ὁ θεὸς τοῖς συνελθοῦσιν ἡμῖν προσκυνεῖν βίῳ καὶ πίστει καὶ συνέσει πνεύματικῇ· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι, ἀνένοχοι καὶ ἀκατάκριτοι μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικὰ ἔξω τοῦ ἁγίου βήματος. Ο ἱερεὺς ἐκφώνως.

Ὅπως ὑπὸ τὸν κράτος σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ

πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Μετὰ τὴν ἐκφώνησιν, λέγει τὴν εὐχὴν καθ' ἑαυτὸν, καὶ οἱ μὲν ψάλται, ψάλλουσι τὸν χερουβικὸν ὕμνον· ὁ δὲ διάκονος προσελθὼν τῷ ἱερεῖ, μετὰ θυμιάματος θυμιᾷ τὴν ἁγίαν τράπεζαν κυκλοφορῶν, καὶ τὸ ἱερατεῖον, καὶ τὸν ἱερέα. καὶ μετὰ τοῦτο ἵσταται ἐν τῇ δεξιᾷ τοῦ ἱερέως εὐλαβῶς, προσμένων τὴν συμπλήρωσιν τῆς εὐχῆς.

Εὐχὴ ἣν λέγει ὁ ἱερεὺς μυστικῶς τοῦ χερουβικοῦ ἀδομένου.

Οὐδεὶς ἄξιος τῶν σὺν δεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι βασιλεῖ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ δι' ἀλλοιώτως γενόμενος ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ δι' αἱμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος κύριε ὁ θεὸς ἡμῶν δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐπαναπαυόμενος, ὁ τῶν σεραφὶμ κύριε, καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος· σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἄχρειον δοῦλόν σου· καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας σου χάριν, παρεστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιόν σου αἷμα· σοὶ γὰρ προσεύχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπὸ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ δι' ἀ-

ξίου

ξίου δούλου σου τὰ δῶρα ταῦτα· σὺ γὰρ εἶ ὁ προσφέρων καὶ ὁ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος, χριστὲ ὁ θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθείσης ὁ τῆς εὐχῆς, εὔχονται ὁμοῦ ὃν χερουβικὸν ὕμνον, καὶ τρεῖς ἐν τῷ λέγειν αὐτὸν προσκυνοῦντες. εἶτα καὶ τὸ πεντηκοστὸν ψαλμὸν μυστικῶς. καὶ προσκυνοῦντες τρεῖς, ἀπέρχονται ἐν τῇ προθύσει, προπορευομένου τοῦ διακόνου μετὰ θυμιάματος. καὶ θυμιάσας τὰ ἅγια, καθ' ἑαυτὸν εὐχόμενος ὁ,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. πρὸς τὸν ἱερέα λέγει.

Ἔπαρον δέσποτα.

Ο ὁ ἱερεὺς ἄρας ὃν ἀέρα, ὅπως εὐλογήσῃ τῷ ἀρχιερῷ ὤμῳ τοῦ διακόνου, λέγων.

Ἐν εἰρήνῃ ἐπάρατε τὰς χεῖρας ἡμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον. εὐλογήσαι σε κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ διάκονος. Ἀμήν.

Εἶτα τὸν ἅγιον δίσκον ὅπου ὁ κορυφῆς αὐτοῦ ὁ διάκονος μετὰ προσοχῆς λαμβάνει. ὁ δὲ ἱερεὺς αἴρων τὸ ἅγιον ποτήριον μόνον, καὶ ὁ διάκονος κεφαλὴν ἐν τῇ δεξιᾷ αὐτοῦ ἑνὶ δακτύλῳ τὸ θυμιατήριον. καὶ διερχόμενοι τὸν ναὸν, εὔχονται ἀμφότεροι ἀφ' πρώτων, λέγοντες.

Μνησθείη κύριος ὁ θεὸς πάντων ἡμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν. καὶ πολλάκις τοῦτο λέγουσιν, ἕως οὗ πληρωθῇ ἡ μεγάλη εἴσοδος. εἰσερχόμενοι δὲ εἰς τὸ ἅγιον βῆμα, λέγουσι καθ' ἑαυτούς.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Εἶτα ὁ διάκονος πάλιν πρὸς τὸν ἱερέα τὴν κεφαλὴν ἀποκλίνας, λέγει.

Μνήσθητί μου δέσποτα ἅγιε τῶν ἁμαρτωλοῦ. καὶ ὁ ἱερεύς.

Μνησθείη σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάν-

τοτε, νυῦ καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπέλθεται καὶ αὖθις τὸ ἅγιον ποτήριον, ἐν τῇ ἱερᾷ τραπέζῃ, θεὶς λέγων καὶ τὸ ἐξαπάριον τόδε.

Ὁ δικαίμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἰλήσας, καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Εἶτα ἀποτίθησι τὰ καλύμματα ὁ ἱερεὺς ἀπὸ τοῦ ἁγίου δίσκου τὲ τοῦ ἁγίου ποτηρίου· τὸν δὲ λαὸν ἀπὸ τῶν ὤμων τοῦ διακόνου, καὶ θυμιάσας αὐτὸ θυσιεσκπάζει δι' αὐτοῦ τὰ ἅγια. εἶτα ὁ διάκονος θυμιᾷ τὰ ἅγια τρὶς, λέγων οὕτως. Ἀγαθύνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὸν Σιών.

Εἶτα δικόλυμβοι δύο. Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Εμπροσθεν τοῦ ἁγίας τραπέζης προσκυνοῦσι τρεῖς. καὶ ὁ μὲν ἱερεὺς ἵσταται· ὁ δὲ διάκονος τὸν αὐχένα κλίνας, πρὸς τὸν ἱερέα λέγει.

Εὔξαι ὑπὲρ ἐμοῦ δέσποτα. ὁ δὲ ἱεραὶς λέγει.

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δυνάμις ὑψίστου ἐπισκιάσει σοι. ὁ δὲ διάκονος λέγει.

Τὸ αὐτὸ ἅγιον πνεῦμα συλλειτουργήσει ὑμῖν καὶ ἡμῖν, πάντοτε νυῦ καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μνήσθητί μου δέσποτα ἅγιε. ὁ δὲ ἱεραὶς λέγει.

Μνησθείη σου κύριος ὁ θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νυῦ καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ διάκονος.

Ἀμὴν. ἀμὴν. ἀμήν.

Καὶ προσκυνήσας, ἔρχεται εἰς τὸν στασιήθη τόπον λέγων.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ κυρίῳ. ὁ χορός.

Κύριε ἐλέησον. ὁ διάκονος. Ὑπὲρ τῶν προτεθέντων ἡμῖν δώρων, τοῦ κυρίου δεηθῶμεν. ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως καὶ εὐλαβείας καὶ φόβου θεοῦ εἰσιόντων εἰς αὐτὸν, τοῦ κυρίου δεηθῶμεν. ὁ χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. ὁ χορός. Κύριε ἐλέησον.

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ὡς λέγει ὁ ἱεραρχικῶς.

Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ὑμνούντων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τὰς ἁμαρτωλῶν τὰς δεήσεις, καὶ πρόσαγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκιάσαι τὸ πνεῦμα σου τὸ ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου. ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, βοήθησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. ὁ χορός. Κύριε βοήθει σοι. ὁ Διάκονος.

Τὴν ἡμέραν πᾶσαν τελείαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

Ο χορός. Παράσχου κύριε. ὁ Διάκονος.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε. ὁ διάκονος. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παράσχου κύριε.

Ο Διάκονος. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ χορός. Πατέρα κύριε. ὁ διάκονος. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα.

ὁ χορός. Σοὶ κύριε. ὁ ἱερεὺς ἐκφώνως.

Διὰ τὴν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ χορός. Ἀμήν. ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. ὁ διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

ὁ χορός. Πατέρα, υἱόν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ο ἱερεὺς προσευχόμενος, λέγων μυστικῶς τρίς.

Ἀγαπήσω σε κύριε ἰσχύς μου, κύριος στερέωμά μου, καὶ καταφυγή μου.

Καὶ ὁ διάκονος προσπίπτει τὸ ὠράριον αὐτοῦ, καὶ προσκυνήσας τρίς, καὶ ὑπόστρωμα πίπτει ἐκφώνως.

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ προσέχωμεν.

Καὶ ὁ χορός, ὅ. Πιστεύω.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου συμβόλου, λέγει ὁ διάκονος ἐκφώνως.

Σπῶμεν καλῶς, σῶμεν μετὰ φόβου, προσέχωμεν τὴν ἁγίαν ἀναφορὰν εἰρήνην προσφέρειν. ὁ χορός.

Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ο ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ἡμῶν.

Ο χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

ὁ ἱε-

Ο ἱερεύς. Ἄνω χῶμεν τὰς καρδίας.

Ο χορός. Ἔχομεν πρὸς τὸν κύριον.

Ο ἱερεύς. Εὐχαριστήσωμεν τῷ κυρίῳ.

Ο χορός. Ἄξιον καὶ δίκαιον ὅτι προσκυνεῖν πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ο ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· σὺ γὰρ εἶ θεὸς ἀνέκφραστος, ἀπρόσιτος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς προήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μελλουσαν. ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας. καίτοι σοὶ παρεστήκασι χιλιάδες ἀρχαγγέλων, καὶ μυριάδες ἀγγέλων, τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτὰ,

Εκφώνως.

Τὸν ὑπνίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα· Ο χορός.

Ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ο Ψάλτης λαμβάνει τὸν ἀστεῖσκον, καὶ ποιεῖ σταυροειδῶς ὑπὲρ τοῦ ἁγίου δίσκου, καὶ ἀποτίσας αὐτὸν ὑπὲρ εἰλητοῦ, ἀπαστάμενος, θήσιν αὐτὸν μετὰ τοῦ ἀέρος. εἶτα μεταβαίνει ἐν τῷ δεξιῷ μέρει, καὶ ῥιπίζει ἐπιθύων τὰ ἅγια μετὰ ῥιπιδίου βιλαβείας· εἰ δὲ οὐκ ἔστι ῥιπίδιον, ποιεῖ τοῦτο μετὰ καλύμματος. Εἶτα λέγει μυστικῶς ὁ ἱερεύς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών.

Ο ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετὰ βιλαβείας.

εὐλογεῖ τὸν ἅγιον ἄρτον, ἐκ φωνῆς λέγων.

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ο χορός. Ἀμήν.

Ο Ψάλτης ἀπόμενος τοῦ ἰδίου ὠραείου, δείκνυσι σὺν τῷ ἱερεῖ καὶ αὐτὸς τὸν ἅγιον δίσκον, ὁμοίως καὶ ὑπὲρ τοῦ ἁγίου ποτηρίου. ὡσαύτως καὶ ὅταν αἰαφωνῇ ὁ ἱερεύς,

Τὰ σὰ ἐκ τῶν σῶν.

Ο ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δεῖπνῆσαι λέγων.

Ἐκ φωνῆς ὁ ἱερεὺς τὴν χεῖρα ἔχων δεδωκὼς μετὰ βιλαβείας, καὶ εὐλογίας, λέγει.

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Ο χορός. Ἀμήν.

Ο ἱε-

Ο ἱερεὺς κλίνας τὴν κεφαλὴν ἐπεύχεται μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας. ἐκφώνως.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα. Ο χορός.

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν σοὶ εὐχαριστοῦμεν κύριε, καὶ δεόμεθά σου ὁ θεὸς ἡμῶν.

Ο ἱερεὺς πάλιν κλίνας τὴν κεφαλὴν, ἐπεύχεται μυστικῶς.

Ἐπιπροσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Ο διάκονος ἀποτίθησι τὸ ῥιπίδιον ὁ πρὸ ἐκείνου, ἢ κάλυμμα, καὶ ἔρχεται ἐπὶ τὸν ἱερέα, καὶ περικυκλοῦσιν ἀμφότεροι τρεῖς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ εὐχόμενοι καθ' ἑαυτοὺς τὸ,

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. λέγουσι μυστικῶς τρεῖς.

Κύριε ὁ τὸ πανάγιον πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο ἀγαθὲ μὴ ἀφέλῃς ἀφ' ἡμῶν. καὶ τὸ, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Εἶτα τὴν κεφαλὴν κλίνας ὁ διάκονος, δείκνυσι σὺν τῷ ὠμοφορίῳ τὸν ἅγιον ἄρτον, καὶ λέγει μυστικῶς.

Εὐλόγησον δέσποτα τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρεῖς τὰ ἅγια δῶρα, λέγων μυστικῶς.

Ποίησον, τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ χριστοῦ σου.

Ο διάκονος. Ἀμήν. καὶ αὖθις ὁ διάκονος.

Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον.

Ο δὲ ἱερεὺς εὐλογῶν λέγει.

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ χριστοῦ σου.

ὁ διάκ. Ἀμήν. καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ ὠμοφορείου ἀμφότερα τὰ ἅγια, λέγει. Εὐλόγησον δέσποτα.

Ο δὲ ἱερεὺς εὐλογῶν μετὰ τῆς χειρὸς ἀμφότερα τὰ ἅγια, λέγει.

Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. ὁ διάκονος.

Ἀμήν, ἀμήν, ἀμήν.

Καὶ τὴν κεφαλὴν ἐπικλίνας ὁ διάκονος τῷ ἱερεῖ, καὶ εἰπὼν τὸ,

Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ.

Μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρότερον. ὁ δὲ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τοῦ πρὸς σέ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα. ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει διαπαυομένων πρεσβυτέρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου. ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ο χορὸς ψάλλει.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σὲ τὴν θεοτόκον.

ἢ τὸ τῆς ἡμέρας. Ο διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν τράπεζαν καὶ τὰ δίπτυχα· τῶν τε κεκοιμημένων καὶ ζώντων ὧν βούλεται, μνημονεύει. ὁ δὲ ἱερεὺς κλινόμενος εὔχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν.

καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ θεός, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων

ἐπὶ

ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Εὐλογεῖ ὁ ἱερεὺς μνημονεύων ὧν θέλει, ζώντων καὶ πεθνεώτων.

Ὑπὲρ ζώντων λέγει.

Ὑπὲρ σωτηρίας, ὑπερασπίσεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ θεοῦ τοῦδε.

Ὑπὲρ πεθνεώτων λέγει.

Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου ὁ δεῖνος. ἐν τόπῳ φωτεινῷ, ἐν τῷ ἀπέδρᾳ λύπη, στεναγμός, ἀνάπαυσον αὐτὸν ὁ θεὸς ἡμῶν, καὶ ἀνάπαυσον αὐτὸν ὅπου ὑπερκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι κύριε πάσης ὑπεροχῆς ὀρθοδόξου τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου τῆς ἐν χριστῷ διακονίας, καὶ παντὸς τοῦ ἱερατικοῦ τάγματος. Ἔτι προσφερόμεν σοι τὸν λογικὸν τοῦτον λατρείαν ὑπὲρ τῆς οἰκουμένης· ὑπὲρ τῶν ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχριστῶν ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. δὸς αὐτοῖς κύριε εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἥρεμον καὶ ἡσύχιον βίον διάγωμεν πάσῃ ἐν εὐσεβείᾳ καὶ σεμνότητι.

Ο μὲν διάκονος ὑπερτρέφει τὸν θυρεὸν τοῦ ἁγίου βήματος κρατῶν τὸ ὠμοφόριον τοῖς τρισὶν ἄκροις δακτύλοις, καὶ λέγει.

Καὶ πάντων καὶ πασῶν. Ο χορὸς ψάλλει.

Καὶ πάντων καὶ πασῶν.

Ο ἱερεὺς ἐκφωνεῖ.

Ἐν προσώποις μνήσθητι κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δεῖνος· ὃν χαρίσαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ σῴζειν, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος πρὸς τὴν θύραν βας, λέγει.

Τοῦ δεῖνος, παντιερωτάτου μητροπολίτου, ἢ ἐπισκόπου, ὅστις ἂν ᾖ. Καὶ ὑπὲρ τοῦ προσκομιζόντος τὰ ἅγια δῶρα ταῦτα, εὐλαβεστάτου ἱερέως ὁ δεῖνος. Ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ πάντων καὶ πασῶν. ὁ χορός. Καὶ πάντων καὶ πασῶν.

Ο ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι κύριε τῆς πόλεως ἐν ᾗ κατοικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι κύριε πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι κύριε τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἔλεή σου ἐξαπόστειλον. Εκφώνως. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ὑμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ο χορός. Ἀμήν.

Ο ἱερεὺς ὀπισθρέφει πρὸς τὴν θύραν, καὶ εὐλογῶν λέγει ἐκφώνως.

Καὶ ἔστω τὰ ἔλεη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν. Ο χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ ὁ διάκονος ἐξέρχεται, εἴ ἔστιν, εἴ τοιος ὁ ἱερεὺς. καὶ βας ἐν τῷ σολέᾳ τόπῳ, λέγει.

Γνώτων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι τοῦ κυρίου δεηθῶμεν. Ο χορός. Κύριε ἐλέησον. Ο διάκονος. Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ κυρίου δεηθῶμεν. Ο χορός. Κύριε ἐλέησον. Ο διάκονος. Ὅπως ὁ φιλάνθρωπος θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐ-

τοῦ

τοῦ θυσιαστηρίου εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου πνεύματος, τοῦ κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ κυρίου δεηθῶμεν. ὁ διάκονος. Κύριε ἐλέησον.

Ο ἱερεὺς ἐπεύχεται μυστικῶς.

Σοὶ προκαταπτόμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα θέσσοντα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φοβερῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν εἰς παῤῥησίαν τοῦ θεός σε, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα. ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε ἐλέησον. ὁ διάκονος. Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παρέχου κύριε. ὁ διάκονος. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ χορός. Παρέχου κύριε. ὁ διάκονος. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ κυρίου αἰτησώμεθα. ὁ χορός. Παρέχου κύριε.

ὁ διάκονος. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

ὁ χορός. Παρέχου κύριε. ὁ διάκονος. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ κυρίου αἰτησώμεθα.

Ο χορός. Πατέρα κύριε. ὁ διάκονος. Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ θεῷ παραθώμεθα. ὁ χορός. Σοὶ κύριε.

Εκφώνως ὁ ἱερεύς.

Καὶ καταξίωσον ἡμᾶς δέσποτα μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον θεὸν πατέρα, καὶ λέγειν. ὁ χορός. Πάτερ ἡμῶν.

Εκφώνως ὁ ἱερεύς.

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ παρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χορός. Ἀμήν. ὁ ἱερεύς. Εἰρήνη πᾶσιν. ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου. ὁ διάκονος Τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. ὁ χορός. Σοὶ κύριε.

Κλίνας γονῦ ὁ διάκονος μικρὸν τὴν κεφαλήν, καὶ ὁρῶν τὸν ἱερέα προσκυνοῦντα, προσκυνεῖ καὶ αὐτός. ὁ ἱερεὺς κλινόμενος, ἐπεύχεται μυστικῶς.

Εὐχαριστοῦμέν σοι βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σοῦ δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τῶν ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, αὐτὸς δέσποτα ἐπουράνιε ἐπίδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἐκλίνασι σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ θεῷ. σὺ οὖν δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον καὶ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνοδεύσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων.

Εκφώνως ὁ ἱερεύς.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σοῦ υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χορός. Ἀμήν.

Ο ἱερεύς.

Ο ἱερεὺς ἐπεύχεται μυστικῶς.

Πρόσχες κύριε Ἰησοῦ χριστὲ ὁ θεὸς ἡμῶν ἐξ ἁγίου καταπετάσματος τοῦ οἰκητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως παρών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματος σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ ἱερεὺς καὶ ὁ διάκονος ἐνῷ ἐστὶ τόπῳ, λέγοντες μυστικῶς τρίς.

Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Καὶ ὁ λαὸς ὁμοίως, πολλοὶ τε μετὰ βυλαβείας προσκυνοῦσιν. ὅτῳ δὲ ἤδη ὁ διάκονος τοῦ ἱερέως ἐκτείνοντος τὰς χεῖρας, καὶ ἀπόμαγμα τοῦ ἁγίου ἄρτου πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν ὑπόθεσιν, ἐκφωνεῖ.

Πρόσχωμεν. καὶ ὁ ἱερεύς. Τὰ ἅγια τοῖς ἁγίοις. ὁ χορός. Εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς χριστός, εἰς δόξαν θεοῦ πατρός. Ἀμήν.

Εἶτα ψάλλει ὁ χορὸς τὸ κοινωνικὸν τῆς ἡμέρας ἢ τοῦ ἁγίου. καὶ ὁ διάκονος ζώννυται τὸ ὠράριον αὐτοῦ σταυροειδῶς, καὶ στὰς ἐκ δεξιῶν τοῦ ἱερέως κεφαλοκλίνητος ἐπὶ ἄρτον, λέγει.

Μέλισον δέσποτα τὸν ἅγιον ἄρτον.

Ο ἱερεὺς μελίζων αὐτὸν ἑξαπλῆ τέμνει σταυρὸν, μετὰ προσοχῆς καὶ βυλαβείας λέγει.

Μηνίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ υἱὸς τοῦ πατρὸς, ὁ μηνιζόμενος, καὶ μὴ διαιρούμενος· ὁ πανοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.

Τότε λαμβάνει τὸ σὺν μέρος τοῦ ἁγίου ἄρτου, καὶ ἐν τῇ χρεῖ ἔχει. καὶ ὁ διάκονος δεξιοῦν σὺν τῷ ὠραρίῳ τὸ ἅγιον ποτήριον, λέγει.

Πλήρωσον δέσποτα τὸ ἅγιον ποτήριον.

Ο ἱερεὺς λέγει.

Πλήρωμα πίστεως, πνεύματος ἁγίου.

Καὶ ποιεῖ δεξιὰ σταυρὸν, καὶ ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον.

Ο διάκονος. Ἀμήν.

Καὶ δεχόμενος τὸ ζέον, λέγει πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὴν ἁγίαν ζέσιν ταύτην.

Ο ὁ ἱερεὺς εὐλογεῖ λέγων.

Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο ὁ διάκονος ἐκχέει φανερῶς εἰς τὸν ἅγιον ποτηρίου, λέγων.

Ζέσις πίστεως πλήρης πνεύματος ἁγίου, Ἀμήν.

Καὶ ἔτι ποιεῖ οὐκ τείτου· καὶ ἀποτίθεμενος τὸ ζέον, ἵσταται μικρὸν ἀπόθεν. ὁ ὁ ἱερεὺς λέγει. προσέλθετε διάκονε.

καὶ δημιουργὸς τοῦ γένους ἡμῶν Δημιουργὸς παλάγκα ἐλέους αὐτοῦ, ὡμοιώθη ἡμῖν, καὶ πάντα γενόμενος ἄνθρωπος χωρὶς ἁμαρτίας, καὶ ἐνώθη τῇ ἡμετέρᾳ φύσει· ὅπερ γὰρ μετέδωκεν ἡμῖν τῆς ἰδίας εἰκόνος καὶ τοῦ ἰδίου πνεύματος, καὶ οὐκ ἐφυλάξαμεν, μεταλαμβάνει αὐτὸς τῆς πτωχείας καὶ ἀσθενείας ἡμῶν φύσεως, ἵνα ἡμᾶς καθαρῇ καὶ ἀφθαρτίσῃ, καὶ μετόχους πάλιν τῆς αὐτοῦ καταστήσῃ θεότητος. ἔδει δὲ μὴ μόνον τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἐν μετοχῇ γενέσθαι τοῦ κρείττονος, ἀλλὰ καὶ πάντα τὸν βουλόμενον ἄνθρωπον, καὶ δευτέραν γένεσιν γενεσθῶσι, καὶ βαφῇ ἐφεῖναι ξένῃ, καὶ τῇ γενέσει τοιούτῳ, καὶ ὅτω φθάσαι τὸ μέγεθος τῆς τελειότητος. διὰ μὴν οὖν τῆς αὐτῆς γενέσεως, ἤτοι βαπτίσεως, καὶ τοῦ βαπτίσματος, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, ἠλευθέρωσε τὴν φύσιν τῆς ἁμαρτίας τοῦ πατέρος, καὶ τοῦ θανάτου καὶ τῆς φθορᾶς· καὶ τῆς ἀναστάσεως ἀπαρχὴ γέγονε, καὶ ὁδὸν καὶ τύπον ἑαυτὸν καὶ ὑπογραμμὸν τέθεικεν, ἵνα καὶ ἡμεῖς τοῖς αὐτοῦ ἀκολουθήσαντες ἴχνεσι, γενώμεθα θεοί, ὅπερ αὐτός ἐστι φύσει, υἱοὶ καὶ κληρονόμοι θεοῦ, καὶ αὐτοῦ συγκληρονόμοι. ἔδωκεν οὖν ἡμῖν, ὡς ἔφην, γένεσιν δευτέραν, ἵν' ὥσπερ γενηθέντες ἐν τοῦ Ἀδὰμ, ὁμοιωθῆμεν αὐτῷ, κληρονομήσαντες τὴν κατάραν καὶ τὴν φθορὰν, ὅτω καὶ ἐξ αὐτοῦ γενηθέντες ὁμοιωθῶμεν αὐτῷ, καὶ κληρονομήσωμεν τὴν τε ἀφθαρσίαν καὶ τὴν εὐλογίαν καὶ τὴν δόξαν αὐτοῦ. ὅπερ δὲ πνευματικός ἐστιν οὗτος ὁ Ἀδὰμ, ἔδει καὶ τὴν γένεσιν πνευματικὴν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν· ἀλλ' ὅπερ διπλοῖ γενέσεσι καὶ ζωῇ τοιοῦτοι, δεῖ καὶ τὴν γένεσιν διπλῆν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν ζωῆς τοιοῦτον. ἡ μὲν οὖν γένεσις ἡμῖν δι' ὕδατος καὶ πνεύματος δέδοται, φημὶ δὴ τοῦ ἁγίου βαπτίσματος· ἡ δὲ βρῶσις, αὐτὸς ὁ ἄρτος τῆς ζωῆς, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· μηνύων γὰρ τὸν ἑκούσιον ὑπὲρ ἡμῶν καταδέχεσθαι θάνατον, ἐν τῇ νυκτὶ, ἐν ᾗ παρεδίδου ἑαυτὸν, Δαβὶδ ἦκεν καινὴν διέθετο τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, δι' αὐτῶν πᾶσι τοῖς εἰς αὐτὸν πιστεύουσιν. ἐν τῷ ὑπερῴῳ τοίνυν τῆς ἁγίας καὶ ἐνδόξου σιὼν, τὸ παλαιὸν πάσχα μετὰ τῶν μαθητῶν αὐτοῦ φαγὼν, καὶ πληρώσας τὴν παλαιὰν Δαβὶδ καὶ, νίψας τῶν μαθητῶν τοῦς πόδας, σύμβολον τοῦ ἁγίου βαπτίσματος παρεχόμενος· εἶτα κλάσας ἄρτον, ἐπεδίδου αὐτοῖς λέγων, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὁμοίως καὶ λαβὼν καὶ τὸ ποτήριον ἐξ οἴνου καὶ ὕδατος, μετέδωκεν αὐτοῖς λέγων, πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό μου ἐστὶ τὸ αἷμα τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἕως ἂν ἔλθῃ. εἰ τοίνυν ὁ λόγος τοῦ θεοῦ, ζῶν ἐστι καὶ ἐνεργὴς, καὶ πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν· εἰ εἶπε γενηθήτω

νηθήτω φῶς καὶ ἐγένετο, γενηθήτω στερέωμα καὶ ἐγένετο· εἰ τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· εἰ ὁ οὐρανὸς καὶ ἡ γῆ, ὕδωρ τε καὶ πῦρ, καὶ ἀὴρ καὶ πᾶς ὁ κόσμος αὐτῶν τῷ λόγῳ κυρίου συνετελέσθησαν· καὶ τοῦτο δὴ τὸ πολυθρύλλητον ζῶον ὁ δεύτερος· εἰ θελήσας αὐτὸς ὁ θεὸς λόγος ἐγένετο αὐθέφτος, καὶ τὰ τῆς ἁγίας ἀφθόρου παρθένου καθαρὰ καὶ ἀμόλυντα αἵματα ἑαυτῷ ἀσπόρως σάρκα ὑπεστήσατο, οὐδὲ δυνάμενα τὸν ἄρτον ἑαυτοῦ σῶμα ποιῆσαι; καὶ τὸν οἶνον καὶ τὸ ὕδωρ αἷμα; εἶπεν εἰ ἀρχῇ, ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, καὶ μετὰ τοῦ νεῦ τοῦ ὑετοῦ γλυκυμένου ἐξάγει τὰ ἴδια βλαστήματα τῷ θείῳ συνεργαζομένου καὶ δυναμουμένου τῷ σπέρματι. εἶπεν ὁ θεός, τοῦτό μου ἐστὶ τὸ σῶμα, καὶ τοῦτό μου τὸ αἷμα, καὶ τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ τὸν πνευματοδυνάμων αὐτοῦ σπέρματι, ἕως ἂν ἔλθῃ γένεται· οὕτω γὰρ εἶπεν, ἕως ἂν ἔλθῃ· καὶ γὰρ ὑστερος τῇ καινῇ ταύτῃ γεωργίᾳ διὰ τῆς ἐπικλήσεως, ἡ τοῦ ἁγίου πνεύματος ἐπισκιάζουσα δυνάμις· ὥσπερ γὰρ πάντα ὅσα ἐποίησεν ὁ θεός, τῇ τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ ἐποίησεν, οὕτω καὶ νῦν ἡ τοῦ πνεύματος ἐνέργεια, τὰ ὑπὲρ φύσιν ἐργάζεται, οὐδὲ δυνάμενα χωρῆσαι εἰ μὴ μόνη ἡ πίστις. πῶς ἔσται μοι τοῦτο, φησὶν ἡ ἁγία παρθένος, ἐπεὶ ἄνδρα οὐ γινώσκω· ἀποκρίνεται Γαβριὴλ ὁ ἀρχάγγελος, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σε, καὶ δυνάμις ὑψίστου ἐπισκιάσει σοι. καὶ νῦν ἐρωτᾷς, πῶς ὁ ἄρτος γὰρ σῶμα γενήσεται· καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ, αἷμα γενήσεται· λέγω σοι καὶ γὰρ πνεῦμα ἅγιον ἐπιφοιτᾷ, καὶ ταῦτα ποιεῖ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν θεῖα μυστήρια, σῶμα γενήσεται ἄρτος καὶ οἶνος ὡσαυτῶς· οἶδε γὰρ ὁ θεὸς τὴν ἀνθρωπίνην ἀσθένειαν· ὡς τὰ πολλὰ γὰρ τὰ μὴ κατὰ τὴν συνήθειαν τεθεμμένα ἀπεστρέφει δυσχεραίνουσα· τὴν δὲ συνήθειαν συνεκατάβασις κεχρημένη, διὰ τὴν συνήθειαν τὴν φύσεως ποιεῖ τὰ ὑπὲρ φύσιν· ὡσαυτῶς ὅπερ τὸ βαπτίσματος, ὅπερ ἔθος τοῖς ἀνθρώποις ὕδατι λούεσθαι, καὶ ἐλαίῳ χρίεσθαι, συνέζευξε τῷ ἐλαίῳ καὶ ὕδατι τὴν χάριν τοῦ πνεύματος, καὶ ἐποίησεν αὐτὸ λουτρὸν παλιγγενεσίας· οὕτως ὅπερ ἔθος τοῖς ἀνθρώποις ἄρτον ἐσθίειν, ὕδωρ τε καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν ἀυτοῦ θεότητα, καὶ πεποίηκεν αὐτά, σῶμα καὶ αἷμα ἀυτοῦ, ἵνα διὰ τῆς συνήθειαν καὶ κατὰ φύσιν, εἰς τοῖς ὑπὲρ φύσιν γινώμεθα. σῶμα ὅστιν δηλονότι ἡνωμένον θεότητι, οὐ μὴν τῆς ἁγίας παρθένου σῶμα· οὐχ ὅτι αὐτὸ τὸ ἀπαλλοτριωθὲν σῶμα ἐξ οὐρανοῦ κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ ὁ οἶνος, μεταποιοῦνται εἰς σῶμα καὶ αἷμα θεοῦ. εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, πῶς γὰρ, ἀρκεῖ σοι ἀκούσαι, ὅτι διὰ πνεύματος ἁγίου, ὡσαυτῶς καὶ ἐκ τῆς ἁγίας θεοτόκου διὰ πνεύματος ἁγίου ἑαυτῷ καὶ εἰς ἑαυτῷ ὁ κόσμος σάρκα ὑπεστήσατο, οὐ πλέον τοῦ ἑνὸς γινώσκομεν, ἀλλ' ὅτι ὁ λόγος τοῦ θεοῦ, δηλονότι ἐστὶ καὶ ἐνεργὴς καὶ παντοδυνάμος, ὁ δὲ τρόπος ἀνεξερεύνητος· οὐχ εἷς δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι ὡσαυτῶς φυσικῶς διὰ τῆς βρώσεως ὁ ἄρτος, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ

διὰ τῆς πόσεως, εἰς σῶμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλονται, καὶ οὐ γίνονται ἕτερον σῶμα παρὰ τὸ πρότερον αὐτοῦ σῶμα. οὕτως ὁ τῆς προσθέσεως ἄρτος, οἶνός τε καὶ ὕδωρ διὰ τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος ὑπερφυῶς μεταποιοῦνται εἰς τὸ σῶμα τοῦ χριστοῦ καὶ τὸ αἷμα· καὶ οὐκ εἰσὶ δύο, ἀλλ' εἷς καὶ τὸ αὐτό. οἱ δὲ τοίνυν τοῖς πίστει ἀξίως μεταλαμβάνουσιν, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ εἰς φυλακτήριον ψυχῆς τε καὶ σώματος· τοῖς δὲ οὐ ἀπιστίᾳ καὶ ἀξίως μετέχουσιν, εἰς κόλασιν καὶ ἐκμαρτύρησιν· καθάπερ καὶ ὁ τοῦ κυρίου θάνατος, τοῖς μὴ πιστεύουσι γέγονε ζωὴ καὶ ἀφθαρσία εἰς ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος· τοῖς δὲ ἀπειθοῦσι καὶ τοῖς κυριοκτόνοις, εἰς κόλασιν καὶ ἐκμαρτύρησιν αἰώνιον. οὐκ ἔστι τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ αἵματος τοῦ χριστοῦ· μὴ γένοιτο· ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ κυρίου τεθεωμένον, αὐτοῦ τοῦ κυρίου εἰπόντος, τοῦτό μου ἐστί, οὐ τύπος τοῦ σώματος, ἀλλὰ τὸ σῶμα· καὶ οὐ τύπος τοῦ αἵματος, ἀλλὰ τὸ αἷμα. καὶ περὶ τούτου τοῖς Ἰουδαίοις, ὅτι ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις· καὶ πάλιν, ὁ πρώην με ζήσεται. δι' μετὰ πόνου φόβου καὶ σπουδῆς καθαρᾶς καὶ ἀδιστάκτου πίστεως προσέλθωμεν. καὶ πόνοις ἔσται ἡμῖν, καθὼς πιστεύομεν μὴ διστάζοντες. κοινωνῶμεν οὖν αὐτὸ πάσῃ καθαρότητι ψυχικῇ τε καὶ σωματικῇ· διπλοῦν γὰρ ἐστι. προσέλθωμεν αὐτῷ, πόθῳ διψῶντες, καὶ σπουδαῖοι τὰς παλάμας τυπώσαντες, τοῦ ἐσταυρωμένου τὸ σῶμα ὑποδεξώμεθα· καὶ ἐπιθέντες ὀφθαλμοὺς καὶ χείλη καὶ μέτωπα, τοῦ θείου ἀνθρακος μεταλάβωμεν, ἵνα τὸ πῦρ τοῦ ἐν ἡμῖν πόθου προσλαβὸν τὸν ἐκ τοῦ ἀνθρακος πύρωσιν, καταφλέξῃ ἡμῶν τὰς ἁμαρτίας, καὶ φωτίσῃ ἡμῶν τὰς καρδίας, καὶ τῇ μετουσίᾳ τοῦ θείου πυρὸς πυρωθῶμεν καὶ θεωθῶμεν. ἄνθρακα εἶδεν Ἡσαΐας· ἄνθραξ δὲ ξύλον λιτὸν οὐκ ἔστιν, ἀλλ' κεκαυμένον πυρί· οὕτω καὶ ὁ ἄρτος τῆς κοινωνίας, οὐκ ἄρτος λιτός ἐστιν, ἀλλ' κεκαυμένος θεότητι. σῶμα δὲ κεκαυμένον θεότητι, οὐ μία φύσις ἐστίν, ἀλλὰ μία μὲν τοῦ σώματος, τῆς δὲ κεκαυμένης αὐτῷ θεότητος ἑτέρα· ὥστε τὸ συναμφότερον, οὐ μία φύσις, ἀλλὰ δύο. ἄρτῳ καὶ οἴνῳ ἐδεξιοῦτο Μελχισεδὲκ τὸν Ἀβραάμ, οὐκ τῆς τῶν ἀλλοφύλων κεφῆς ὑποστρέφοντα, ὁ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου. ἐκεῖνη ἡ τράπεζα τοιούτου τοῦ μυστικῆν προσφώνησε τράπεζαν, ὅν τόπον ἐκεῖνος ὁ ἱερεὺς, τοῦ ἀληθινοῦ ἀρχιερέως χριστοῦ τύπος κεῖται καὶ εἰκόνισμα· οὐ γὰρ φησιν, εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. τοῦτον τὸν ἄρτον, οἱ ἄρτοι εἰκονίζουσι τῆς προσθέσεως. αὕτη ἐστὶν ἡ καθαρὰ θυσία δηλαδὴ καὶ αἱματηρός, εἰ δὲ ἀπὸ δυσπολαῖν ἡλίου μέχρι δυσμῶν, αὐτῷ προσφέρεσθαι διὰ τοῦ προφήτου ὁ κύριος ἔφησε. σῶμά ἐστι καὶ αἷμα χριστοῦ, εἰς σύστασιν τῆς ἡμετέρας ψυχῆς τε καὶ σώματος χωρεῖν· οὐ δεδοκιμασμένον, οὐ φθειρόμενον, οὐκ εἰς ἀφε-

δραλια χωρεσιῶ· μὴ γένοιτο· ἀλλ' εἰς τὴν ἡμῶν ὑσίαν καὶ σύντρησιν, βλάβης πάντοδαπὸν ἀμείωτήριον, ῥύπου πάντος καθαρτήριον· δὺ μόνον χρυσὸν λάβῃ κίβδηλον, ἀφ' τῆς κριτικῆς πυρώσεως καθαίρῃ· ἵνα μὴ ὦν τῶν μελλόντι σὺν τῷ κόσμῳ κατακριθῶμεν· καθαίρει γὰρ νόσους καὶ πάντοίας ὀπτφορὰς, καθὼς φησὶν ὁ θεῖος ἀπόστολος· εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. καὶ τοῦτό ἐστιν ὃ λέγει, ὥστε ὁ μετέχων τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. δι' αὐτοῦ καθαιρόμενοι ἑνούμεθα τῷ σώματι τοῦ κυρίου καὶ τῷ πνεύματι αὐτοῦ, καὶ γινόμεθα σῶμα χριστοῦ. οὗτος ὁ ἄρτος ἐστὶν ἡ ἀπόκρυφος τοῦ μελλοντος ἄρτου, ὃς ἐστὶν ὁ ἐπιούσιος· ὃ γὰρ ἐπιούσιον δηλοῖ, ἢ τὸν μέλλοντα, τουτέστι, τοῦ μέλλοντος αἰῶνος· ἢ τὸν πρὸς σύντρησιν τῆς ὑσίας ἡμῶν λαμβανόμενον. εἴτε οὖν οὕτως, εἴτε οὕτως, ὃ τοῦ κυρίου σῶμα προσφυῶς λεχθήσεται· πνεῦμα γὰρ ζωοποιοῦν ἐστιν ἡ σὰρξ τοῦ κυρίου. διότι οὐκ τοῦ ζωοποιοῦ πνεύματος σύνεληφθη· ὃ γὰρ γεγεννημένον οὐκ τοῦ πνεύματος, πνεῦμα ἐστι. τοῦτο δὲ λέγω οὐκ αἱρεῖν τὴν τοῦ σώματος φύσιν, ἀλλὰ τὸ ζωοποιὸν καὶ θεῖον αὐτοῦ δηλῶσαι βουλόμενος.

ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΜΕΘΩΝΗΣ,

πρὸς τοὺς διϊσχυριζομένους καὶ λέγοντας ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος, οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.

ΤΗΝ μυστικὴν ταύτην καὶ δυναμικὸν ἱερουργίαν, καθ' ἣν τὸν ἄρτον καὶ τὸ ποτήριον καθαγιαζόμενα, εἰς τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου μεταποιεῖσθαι πιστεύομεν, πρὸς οἵνος δὺ τὴν ἀρχὴν φαίνεσθαι. ἆρ οὐχὶ πρὸς αὐτοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, καθὼς ἡμᾶς τὰ ἱερὰ διδάσκουσιν εὐαγγέλια; πρὸς αὐτοῦ πάντως. οἷος δὲ καὶ ὁ λόγος τῆς παραδόσεως; τοῦτο ποιεῖτε, φησίν, εἰς τὴν ἐμὴν ἀνάμνησιν· καὶ ὁ θεῖος παῦλος· ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε. πῶς καὶ ἵνα τί ἕνεκεν, πρὸς αὐτοῦ τοῦ σωτῆρος ἐμάθομεν· λαβὼν γὰρ φησι, τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον καὶ διδόμενον· ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δεῖπνῆσαι, λέγων, τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ αἵματί μου.

ταῦτον δὲ εἰπεῖν καὶ τὸν θεῖον Μαλθαῖον, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς
διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. ὁ δὲ σκοπὸς οὗς, καὶ τὸ τέλος τῆς
παραδόσεως οὗ δηλόω, ἡ μετουσία χρισοῦ, καὶ ζωὴ ἐν χριστῷ τῶν μετεχόντων
αἰώνιος. ἐὰν οὖς γὰρ φησι, φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ,
ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, οὗ ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου
ζωῆς· καὶ, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐ-
τοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ὁ τρώγων μου τὴν σάρκα, καὶ πί-
νων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον· καὶ πάλιν, ὁ τρώγων μου τὴν σάρκα καὶ
πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· καθὼς ἀπέστειλέ με ὁ
ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ, ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι'
ἐμέ· τὴν γὰρ αὐτοῦ σάρκα ὡς δέλεαρ ἐν ἀγκίστρῳ παρεπιθέμενος, τῇ θείᾳ αὐ-
τοῦ δυνάμει, τὸν μέγιστον ὄφιν καθέλκει, ἡμᾶς δὲ δυάγει· βαβαὶ ὡς φρικτὸν καὶ
φοβερὸν τὸ μυστήριον. ὁ παραδεδωκὼς τοῦτο, θεός ἐστι, διὰ φιλανθρωπίαν
καὶ δι' ἄνθρωπος γενόμενος, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν καὶ θάνατον παρε-
ρχόμενος, ἵνα τὸν ὑπόδικον τῷ θανάτῳ διὰ τὴν ἁμαρτίαν αἰνθρωπον τοῦ
θανάτου ἐξέλῃται. αἰτία τῆς παραδόσεως, ἡ τῆς μεγάλης ταύτης εὐερ-
γεσίας δυάμωσις· σῶμα καὶ αἷμα χρισοῦ, τὰ τελούμενα· τῆς τελετῆς τέ-
λος, μετουσία χρισοῦ, καὶ ζωὴ αἰώνιος· ταὐτὸν δὲ εἰπεῖν, τῶν μετεχόντων ἐκ-
θέωσις, ὡς καὶ ὁ θεοπέσιος Παῦλος μεγαλοφώνως βοᾷ, τὸ ποτήριον τῆς εὐ-
λογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ χρισοῦ ἐστιν; εἶτα ἐπάγει καὶ
λογισμόν, πῶς γινόμεθα σῶμα χρισοῦ, καὶ φησί· τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ
κοινωνία τοῦ σώματος τοῦ χρισοῦ ἐστίν; ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐ-
σμέν οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν· οὗ γὰρ ἐστι, φησὶν, ὁ ἄρτος·
δηλονότι σῶμα χρισοῦ· οὗ δὲ γίνονται οἱ μεταλαμβάνοντες· δηλονότι σῶμα
χρισοῦ· μετέχοντες γὰρ τοῦ σώματος τοῦ χρισοῦ καὶ ἡμεῖς, ἐκεῖνο γινόμεθα·
ἐπειδὴ γὰρ ἡ πᾶσα ἡμῶν σάρξ ἐφθάρη ὑπὸ τῆς ἁμαρτίας, ἐδέησεν ἡμῖν
σαρκὸς νέας. οὗς οὕτω θρασὺς καὶ πάνολμος, ὡς καινοτομεῖν τὴν παρά-
δοσιν, καὶ παραγράφειν τὸ μυστήριον, καὶ ἀθετεῖν οὕτω τὴν παράδοσιν τε
καὶ μυήσαντα ἀθετήσας οὗς νόμον Μωϋσέως, φησὶν ὁ ἀπόστολος, χωρὶς οἰκτιρ-
μῶν, ὅτι δυσὶν ἢ τρισὶ μάρτυσιν, ἀπεθνήσκε· πόσῳ δοκεῖ χείρονος ἀξιωθήσε-
ται οὗ μωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης
κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος καθυβρίσας. ἀλλὰ οὗς ὁ κα-
ταπατῶν τὸν υἱὸν τοῦ θεοῦ, καὶ τὰ λοιπὰ τὰ εἰρημένα κατηγορούμενος· ἢ δῆλον,
ὡς ὁ τὸ σῶμα αὐτοῦ διὰ τῆς ἀχαριστίας ἀθετῶν, καὶ μὴ ἀποδεχόμενος, καὶ
τὴν τοῦ ἀληθοῦς σώματος παράδοσιν τε καὶ ἔνταλμα ἐξουθενίζων; τοῦτό
ἐστι τὸ σῶμά μου εἰπόντος, καὶ τοῦτό ἐστι τὸ αἷμά μου· καὶ, ἐὰν μὴ φάγητε τὴν
σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν
ἑαυτοῖς. οὗ διαζῆς· οὗ τῷ πανδυνάμῳ ἀδυνατίζῃς παρεμπίπτῃς. οὐκ αὐ-

τός ὅστις ὁ ἐκ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα προσαγαγών, ὁ εἷς τῆς τρισυποστάτου θεότητος, ἐπ' ἐσχάτων τῶν χρόνων σαρκωθεὶς, καὶ ὁ τὸν ἄρτον εἰς τὸ ἀυτοῦ σῶμα μεταβάλλεσθαι προστεταχώς; ἢ πάλιν ζητεῖς αἰτίαν καὶ τάξιν φύσεως τῆς τοῦ ἄρτου μεταβολῆς εἰς τὸ τοῦ χριστοῦ σῶμα, καὶ τοῦ ὕδατος καὶ οἴνου εἰς αἷμα· ἐπεὶ ὑπὲρ φύσιν καὶ λόγον καὶ νοῦν καὶ ἔννοιαν ἐκ προγένου ἐτέλεσθη; ἀπιστήσας ἄρα καὶ τοῖς ἐκ νεκρῶν ἀνάστασιν, καὶ τοῖς εἰς οὐρανοὺς αὐτοῦ ἀνάληψιν, καὶ τὰ ἄλλα τοῦ χριστοῦ θαύματα ὑπὲρ φύσιν καὶ νοῦν καὶ ἔννοιαν ὄντα. τοῦτο δὲ γνῶθι, ὅτι τὸν χριστὸν, ὃν θεὸν ἀληθινὸν καὶ υἱὸν τοῦ θεοῦ ὁμολογεῖς, ἀλλ' ἀφανίζεις, μᾶλλον δὲ ἰσοδαίζεις. ἀλλ' ἴσως πάλιν ἀμφιβάλλεις καὶ ἀπιστεῖς, ὅτι οὐχ ὁρᾷς σάρκα καὶ αἷμα, ἀλλ' ἄρτον καὶ οἶνον· πρὸς οὐ εἰδέναι σε χρὴ ἀγαπᾶν καὶ ἀγωνίζεσθαι τὸν δυνατόν, ὅτι ὁ τὰ πάντα εἰδὼς θεὸς, φιλανθρωπότατος ὢν, οἰκονομικῶς τοῦτο ἐποίησε, τῇ δυνάμει τῆς ἀληθείας συγκαταβαίνων, ἵνα μὴ ἀπιστρέφωνται οἱ πολλοὶ τὸν ἀρραβῶνα τῆς αἰωνίου ζωῆς, καὶ δυσχεραίνωσι, σάρκα καὶ αἷμα βλέποντες. διὸ διὰ τῶν σεσωθεσμένων τῆς φύσεως τοῦτο γίνεσθαι ἠβουλήθη, συζεύξας ἀόρατος τοῖς αὐτοῦ θεότητα, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου εἰπών· καὶ, λάβετε, φάγετε, καὶ πίετε ἐξ αὐτοῦ πάντες εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ πάλιν, ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· καὶ, ἐὰν μὴ φάγητε τοῦ σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. διὰ τοῦτο αὐτῷ πιστεύοντες, ἵνα προσφέρομεν ἄρτον τέλειον, ζῶντα, εἴτουν σῶμα χριστοῦ τέλειον, καὶ μετὰ τὸ πάθος διὰ μεμνημένος καὶ ὁλόκληρον· οὐδὲν γὰρ ὑστερεῖται αὐτοῦ συνεστεῖκε· καὶ τῆς θείας ζωῆς ἀγωνίσιον, τοιοῦτον οἷος αὐτὸς ὁ πρῶτος ἡμῖν καὶ μέγας ἀρχιερεὺς καὶ θύτης καὶ θῦμα τοῖς οἰκείοις μύσταις παρέδωκεν· αὐτοί τε πάλιν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ λόγου καὶ ὑπηρέται, τῇ καθολικῇ ἐκκλησίᾳ τῇ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, παρέδοσαν· πάντες μὲν τῇ ἐν Ἱεροσολύμοις, ὅπου καὶ ὁ θεῖος Ἰάκωβος ὁ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως ἀδελφὸς καὶ διάδοχος τὴν μυστικὴν καὶ θυσιαστικὴν λειτουργίαν ἐξέθετο· Πέτρος δὲ καὶ Παῦλος, τῇ ἐν Ἀντιοχείᾳ· Παῦλος δὲ ἰδίως, καὶ πάσῃ τῇ οἰκουμένῃ· Μάρκος δὲ, τῇ ἐν Ἀλεξανδρείᾳ· Ἰωάννης καὶ Ἀνδρέας, τῇ ἐν Ἀσίᾳ τε καὶ Εὐρώπῃ· καὶ πάντες τῇ πανταχοῦ ἐκκλησίᾳ διὰ τῆς συγγραφείσης τοῦ ἱερῶς Κλήμεντι λειτουργίας παρεδεδώκασιν· ἐν ᾗ καὶ τὰ οὕτω ῥητῶς κεῖται· Μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι θεὲ παντοκράτορ, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διὰ τάξιν αὐτοῦ πληροῦμεν· ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσὶ, καὶ ἀναβλέψας πρός σε τὸν θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας, ἔδωκεν ἡμῖν, εἰπών· λάβετε ἐξ αὐτοῦ, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ περὶ πολλῶν

ἀφυπόμενοι εἰς ἄφεσιν ἁμαρτιῶν. ὡσαύτως καὶ τὸ ποτήριον λαβόντας ἐκ
πνοῦ καὶ ὕδατος, καὶ ἁγιάσας, ἔδωκεν ἡμῖν λέγων, πίετε ἐξ αὐτοῦ πάντες,
τοῦτό ἐστι τὸ αἷμά μου τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.
τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. μεμνημένοι τοίνυν τῶν παθῶν αὐτοῦ
καὶ τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου, καὶ τῆς
μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ὅν ἡ ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς,
καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομεν σοι τὰ βασιλικὰ καὶ
θεῖα, κατὰ τὴν αὐτοῦ παράδοσιν, τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο, εὐχαρι-
στοῦντες σοι διὰ αὐτοῦ, ἐφ' οἷς κατηξιώσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου καὶ ἱερα-
τεύειν σοι καὶ ἀξιοῦμεν σε, ὁ πνευματικὸς ἐπιβλέψας ἐπὶ τὰ προκείμενα
δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς θεός, καὶ εὐδοκήσας ἐπ' αὐτοῖς εἰς
τιμὴν τοῦ χριστοῦ σου καὶ καταπέμψας τὸν ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν
ταύτην, τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν
ἄρτον τοῦτον, σῶμα τοῦ χριστοῦ σου καὶ τὸ ποτήριον τοῦτο, αἷμα τοῦ χριστοῦ σου.
καὶ πάλιν ὁ μέγας Παῦλος, ἐγὼ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέ-
δωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδετο, ἔλαβεν ἄρτον, καὶ
εὐχαριστήσας, ἔκλασε καὶ εἶπε λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ
ὑπὲρ ὑμῶν κλώμενον. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν
ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου
καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. εἰ δὲ καὶ τοῦτο τὸ ὑπὲρ ἡμῶν ἐπιτελούμενον
ἔλαττον εἶναι ἐκείνου, οὐκ οἶδα ὅτι ὁ χριστὸς καὶ νῦν ἐνεργεῖ, καὶ νῦν
παρεστὶν ἐσόμενα γὰρ μεθ' ὑμῶν πάσας ἄχρι τῆς συντελείας
τοῦ αἰῶνος, ἐπαγγέλλεται. τοῦτο μυστήριον πάλιν καὶ πλατυνόμενος ὁ
θεῖος ἀπόστολος, μετὰ φόβου θεοῦ καὶ πίστεως ἀξίως ἡμᾶς ἀναμετέχειν παρακελεύεται, τὸ ἀμωμεί μου τοῦ βαφαίρετος ἀφορίζε), ὃς δὲ ἐσθίῃ, λέγων,
τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος
καὶ τοῦ αἵματος τοῦ κυρίου. ταῦτα δὲ εἰπεῖν κατὰ τὸν θεῖον Χρυσόστομον, καθάπερ
παρέδωκε μὲν αὐτὸν Ἰούδας, ἐπιρρίψας δὲ εἰς αὐτὸν ἰουδαῖοι, ὅτιος ἀτιμάζου-
σιν αὐτὸν οἱ τὸ πνευματικὸν αὐτοῦ σῶμα ἀναξίως τῷ σώματι διεχόμενοι, καὶ σκα-
νεῖ προσφέροντες σώματι. δὲ φησί, δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, οὐχ
ἕτερος τὸν ἕτερον· τοῦτο γὰρ χρῆναι ὅστιν ἀλλὰ πρὸς τὸν ἕκαστος ἑαυτόν, καὶ οὕτω
καὶ τοῦ ἄρτου ἐσθιέτω, καὶ τοῦ ποτηρίου πιέτω· ὁ γὰρ ἐσθίων καὶ πί-
νων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων, τουτέστιν ἀξιε-
ρίζων καὶ σκοῶν τὸ σῶμα τοῦ κυρίου προκείμενον. εἰ δὲ ὁ κατὰ ἑαυτὸν ἐν ἅπα-
σι τοῦ ἀνθρώπου παθῶν ὀλιγωρῶν, καὶ προσιὼν ἀδιακρίτως, ὡς ἀναξίως
μετέχων, τοσαύτης ἀξιοῦται τῆς κατακρίσεως, ὁ πρὸς αὐτὸν τὸν ἱεροσυρ-
γὸν ἀξιαμφοτέρων καὶ ἀμέσως αὐτὸ τὸ κυριακὸν καθυβρίζων σῶμα καὶ
ἀπρεπούμενος, τὸν τε προδότην ἀθετῶν, καὶ τὸν προδεδωκότα καταπα-

πατεῖν, ἵνα δὲ εἶν καὶ πάσῃ μεῖζον χαίρωσί τε καὶ μείζονος ἀξίας καὶ κατηξιώσεις καὶ ἡμερείας ἀρὰ ἡ φείκης γένοιτο τοῦ ἀγαθοῦ; ἀρ' οὐκ ἀναλήψεται ἢ ὑπόδοσιν τοῦ τῆς χρηστοτομίας καὶ φιλοδόξου καὶ ἀλόγου βουλεύματος; ἀλλὰ ῥύσεται κόσμε ἀφ' τῶν ἐλέους ὧν ἐποιήσατο ἀπάντων τε καὶ παρεφρεσσόμενος πολλῶν ἐν ἐν ὀρθῶς ὁμολογουμένως φέρεφ' ἡμῖν ἱερουργούμενον ἄρτον καὶ οἶνον, σῶμα καὶ αἷμα ἀληθινὸν καὶ ἐλεήσαι τῶν τῶν κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΣΑΜΩΝΑ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ ΔΙΑ

λεξις πρὸς Ἀχμὰν τὸν Ὀρθόδοξον, ἀποδεικνύουσα τὸν ὑπὲρ ἱερέων ἱερουργούμενον ἄρτον καὶ οἶνον, σῶμα καὶ αἷμα ἀληθινὸν καὶ ἐλεήσαι τῶν τῶν κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.

ΕΤΥΓΧΑΝΟΜΕΝ πολλοὶ παραδόμενοι εἰς Βαβυλῶνα μετὰ πολλῆς ἀθυμίας, ἐν τῇ ἐσχάτῃ ἀφελείᾳ τῆς καθ' ἑαυτὸν ἐν ἀλλοφύλοις ἀναστρεφόμενοι, πρὸς ἀφορῶν ὑπεσθέσεσι, τίνες δ' ἄρτοι τὸν ἐσχάτοις ἀπελθοῦσιν· ἐξ ὧν καὶ ἡμῖν ἐφάνη καὶ λόγος ὀρθόδοξος ἐξ ἡμῶν εἰς τοὺς τῶν μυστηρίων ἀπόστολοι, πρώτιστον ἐκείνοις φάσκων ἀφ' ἡμῶν ὁλοκλήρους, ὑμεῖς οὐδὲν ἐμπαίζετε τοῖς χριστιανοῖς τὸν ἐξ ἀμόλου ἐπιόμενον ἄρτον αἰδοῖς χρῶμενοι, καὶ σῶμα χριστοῦ ἐπονομάζοντες, ἄφεσιν ἁμαρτιῶν τῶν ἐν αὐτῷ τοῖς μετὰ λαμβάνουσι δεκαμένοις ἀφιεβαιοῦντες ἄρα ἢ ἡμᾶς αὐτοὺς ἐμπαίζετε, ἢ τοὺς ὧν ἀξιοῦτε; Σα. καὶ τί λέγεις, ἄρτος ἢ τοῦ θεοῦ σῶμα; Αχ. ἑκάτερον ἀπορεῖ μέσος ἀποκρίνασθαι τῆς ἀντιφάσεως. Σα. τοιοῦτόν σε ἡ μήτηρ σου γεγένηκεν; Αχ. οὐχί. Σα. ἀλλὰ πόσον; Αχ. σμικρόν. Σα. καὶ τίς σε ἐμαιώθησε. Αχ. θεοῦ θέλοντος ἡ Σοφή. Σα. οὐχοῦν ἄρτος σοι γέγονε τῶμα; Αχ. σύμφημι. Σα. καὶ πῶς σοι ἄρτος γέγονε τῶμα; Αχ. τὸν Σῶτον ἀγνοεῖς. Σα. ἀφ' τῆς λαμπροῦ ἡ βρῶσις ἢ ἡ πόσις εἰς τὸν σῶμα χρῆσιν κατέρχεται ὡς εἰς χύτραν· ἐν δὲ τοῖς μέλλοντι θερμοῦ ὄντος τῆς ἡ πάστης, ἐνδίδοται ἡ Σοφὴ καὶ χωνεύεται· καὶ ὁ μὲν πεχωμερές, κάτω χωρεῖ· ὁ δὲ λεπτομερές, καὶ χωνευμένον ὑπεστρέφει· ὡς θερμὸν δὲ ὑπερβῆναι καὶ σαμφοῦδες, μόνα ἀπῆ καὶ αἷμα τοῖ καὶ ὡς δ' ἐγκαταῦτα ἄπαν ὁ Σῶμα ἀφ' τῶν φλεβῶν καταρδεύῃ, μετέχει τοῦ χωνευθέντος ὑπὸ τοῦ σώματος τοῦ Σοφοῦ, καὶ ὑπ' αὐτοῦ αἷμα τοῦ θείου, ἑκάστου ἡ μηδὲν συμμεταβαλλομένου, ὅτι ἐστὶν ἐκεῖνο, ὅτι οὐ ἐστὶ, μεμῆφ μεμελόν, καὶ ἐστὶ

νοῦς ἐστι, ὀφθαλμοῖς ὀφθαλμοὺς, δρυξὶ τεῖχα, δέρματι δέρμα, ὄνυξιν ὄνυχα· καὶ οὕτω δὴ ἡ τοῦ βρέφους εἰς ἄνδρα αὔξησις, τοῦ ἄρτου αὐτῷ γενομένου σῶμα, καὶ τῆς πόσεως αἷμα. Αχ. ἔοικε. Σα. Τί πρὸς τὸν ἄνδρα καὶ ὁ ἡμέτερος νόμος γίνεσθαι μυστήριον· ἐν ᾧ γὰρ τῇ ἀγίᾳ τραπέζῃ ὁ ἱερεὺς τὸν ἄρτον, ὁμοίως καὶ τὸν οἶνον καὶ δεομένου, ἐπικλήσῃ ἁγίᾳ τὸ πνεῦμα τὸ ἅγιον καταπέμπει, καὶ ἐπὶ φιλίᾳ τοῖς προσκειμένοις· καὶ ὡς πνεῦ τῆς ἀυτοῦ θεότητος, εἰς σῶμα καὶ αἷμα χρειστοῦ, τὸν ἄρτον καὶ τὸν οἶνον μεταβάλλει, οὐχ ἥττον ἢ τὸ ἥπερ τοῦ σταυροῦ, εἰς τοῦ υἱοῦ αὐθεντοῦ. ἢ οὐ δίδωσι ὥστε δυνάσθαι τὸ πνεῦμα τοῦ θεοῦ πνεῦμα ὅπερ τὸν σὸν δυνάσθαι ἢ πῦρ ἐκτελεῖν; Αχ. δίδωμι. Σα. Τοῦτο τοίνυν τοῦ σώματος καὶ αἵματος μεταλαμβανόμενοι εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, τοῦ δεσπότου ἡμῶν εἰρηκότος, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον· τοῖς δὲ δυσωδῶς ἔχουσι πρὸς τὸ φαινόμενον, ὡς μὴ βλέπουσι τὸ συμβαῖνον τῇ ἐπαγγελίᾳ τῶν σωματικῶς ἐνεργουμένων ἄρτος γὰρ καὶ οἶνος φαίνεται· πρὸς δὲ καὶ τοῖς λέγουσι, πῶς ἐστι δυνατὸν ἐν χλῶ καὶ δυνάμεως θείας ἐπίκλησιν ἐπὶ τοῦ ἄρτου γινομένῃ μεταβάλλειν αὐτὸν εἰς σάρκα ζῶσαν, ἁπλοῦς ἐξαρκεῖ λόγος· αἰτεροτήσομεν γὰρ, τοῦ τρόπου τῆς κατὰ σάρκα γεννήσεως, πᾶσιν ὄντος προδήλου, πῶς ἄνθρωπος ἐκεῖνο τὸ ὑγρὸν γὰρ, ὃ εἰς ἀφορμὴν τῆς συστάσεως τοῦ ζώου καταβαίνον· ἀλλὰ μὴν, οὐδεὶς ἐστὶ ἐκείνου λόγος ἐστὶν ὁ λογισμῷ λιτὸ πιθανὸν ἐξευρίσκων· ἐν γὰρ κοινὸν ἔχει ὅρος ἀνθρώπου πρὸς τὴν ἐκείνου θεωρουμένην ποιότητα συγκρινόμενος· ἄνθρωπος μὲν γὰρ, λογικὸν ἐν χρῆμα καὶ ἀναστικόν ἐστιν· ἐκεῖνο δὲ ἐν ὑγρᾷ λιτὸ θεωρεῖται ποιότητι· καὶ πλέον οὐδὲν τοῦ κατ' αἴσθησιν ὁρωμένου, καταλαμβανόμενος ἢ ἔννοια· ἀλλὰ θεία δυνάμει ἐκεῖνο ἀνθρώπος γὰρ· ἧς μὴ συμπορεύσης, ἀκίνητον ἐστὶ καὶ ἀνέργητον. εἰ οὖν ἐκεῖ τὸ ἐπικείμενον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία δυνάμις πρὸς ἀνθρώπου φύσιν μεταποιεῖ τὸ φαινόμενον, τὸ ἐφάπτης ἂν εἴη ἀγνωμοσύνης, ἐκεῖ τοσαύτην θεοῦ πρὸς μαρτυρεῖν τὰς δυνάμεν, ἀρνεῖν ἐν τῷ μέρει τούτῳ τὸ θεῖον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος. Αχ. ἀλλὰ ἐν κοινὸν ἄρτῳ καὶ σαρκί. Σα. καὶ ἐν κοινὸν λέξον μοι, ὑγρότητι καὶ εἰκόνι θεοῦ· ἀλλ' ὥσπερ οὐδὲν ἐκεῖ τὸ πρόδοξον, εἰ θεοῦ βουλομένου, πρὸς τὸ ἀμιώτατον ζῶον τὸ ὑγρὸν μεταβαίνει, οὕτω καὶ ἐπὶ τοῦ τὸ ἴσον πιστευτέον, μηδὲν εἶναι θαυμαστόν, εἰ θείας δυνάμεως πρόνοια πρὸς ἀφθαρσίαν μετασκευάζεται ὁ ἄρτος, καὶ εἰς σῶμα χρειστοῦ μεταβάλλεται. Αχ. ἀλλ' ὁ χρειστὸς ὅτε τοῦτο τοῖς μαθηταῖς αὐτοῦ παρέδωκε, οὔτ' αὐτὸς πολλὰς ἐνχὰς εἶπε, οὐδ' ἡμῖν οὕτω προσεπέτρεψε λέγειν. πῶς τοίνυν ὑμεῖς οὐχ οὕτω ποιεῖτε, ἀλλ' ἐνχῶν πολλῶν δεῖσθε. Σα. ὁ χρειστὸς καθὸ θεὸς, κύριος ὢν καὶ τοῦ ἑαυτοῦ σώματος καὶ τῆς ψυχῆς, ἢ φησὶν αὐτὸς, ὅτι ἐξουσίαν ἔχω τὴν ψυχήν μου δοῦναι, καὶ πάλιν λαβεῖν αὐτήν·

καὶ

καὶ αὐτὸς φύσει θεὸς ὢν, ἡγίασεν εὐθὺς τῇ αὐτοῦ θείᾳ δυνάμει καὶ χάριτι τοῦτο τὸν ἄρτον, τοῦτό ἐστι τὸ σῶμά μου εἰπών, ἔχων καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα ἐν ἑαυτῷ· καὶ οὕτως τὸν ἄρτον οἰκεῖον σῶμα ἐποίησε· καὶ οὐκ ἐδεῖτο ἑτέρου ὑπόρροου, ἢ τὸν ἄρτον ἁγιάσοντος· τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· αὐτὸς δὲ ὁ Χριστὸς οὐκ ἐλάττων ὢν τοῦ πατρὸς καὶ τοῦ πνεύματος, ἀυτεξουσίως ἐποίησε ὅσα ἐβούλετο. ὁ δέ γε πρὸς ἡμῶν ἱερεὺς, εἰ καὶ τύπον φέρει Χριστοῦ, ἀλλ' οὐδὲν θεός ἐστι πρωτοτύπῳ ὑποκείμενος ἁμαρτίαις καὶ κατεχόμενος· οὐδεὶς γὰρ ἀναμάρτητος, ὡς τὸ θεῖον λόγιον, καθὼ μία ὥρα ἐστὶν ἡ ζωὴ αὐτοῦ, εἰ μὴ μόνος ὁ θεός· διὰ τοῦτο δεῖται πολλῶν δακρύων, καὶ προσευχῶν μὴ ὑπὲρ τῶν οἰκείων ἁμαρτιῶν, ἔπειτα τῶν τοῦ λαοῦ, ὡς φησιν ὁ ἀπόστολος Παῦλος· διὸ καὶ πᾶς ὁ λαὸς παρεισάμενος ἔξω τοῦ ἀδύτου, συμπονεῖ καὶ συμπροσευχεται τῷ ἱερεῖ. δέεται τοίνυν ὁ ἱερεὺς τοῦ θεοῦ καὶ πατρὸς, ὡς μέσον θεοῦ καὶ ἀνθρώπων ἱστάμενος πρέσβεις, ἵνα μὴ κώλυμα γένηται τῆς τοῦ παναγίου πνεύματος ἐπελεύσεως, ἀλλὰ καταπέμψῃ καὶ αὖθις τὸ πανταχοῦ πρὸν θεῖον καὶ τελεταρχικὸν καὶ ἁγιαστικὸν πνεῦμα, δι' οὗ τὰ πάντα τά τε ἐν οὐρανῷ, τά τε ἐπὶ γῆς λεγόμενα ἅγια, τῇ μετοχῇ τῆς ἁγιαστικῆς αὐτοῦ χάριτος ἁγιάζεται· εἰς ὃ τελεσιουργήσαι τὸν προκείμενον εἰς θυσίαν ἄρτον καὶ τὸ ποτήριον, καὶ ποιῆσαι αὐτὰ, αὐτὸ ἐκεῖνο τὸ κυριακὸν σῶμα καὶ αἷμα τοῦ Χριστοῦ· ὁ πατὴρ γὰρ ἐδίδαξε, φασὶ τὰ πρὸς ἡμῶν λόγια, καὶ ὁ υἱὸς ἐσκήνωσε, καὶ ἡ παρθένος ἔτεκε θεὸν ἐνανθρωπήσαντα, καὶ τὸ ἅγιον πνεῦμα συνήργησεν· ὃ καὶ ἐκ τῶν παρθενικῶν αἱμάτων μέρος λαβὸν, ἀκροδόμησε τὸν σωματικὸν ναὸν τοῦ Χριστοῦ. καθὼ τεῦθεν δηλοῦται καὶ τὸ ἀχώριστον καὶ ἰσοδύναμον, καὶ ὁμοφυές καὶ πανοδύναμον τῆς ἁγίας τριάδος, εἰ καὶ πᾶσι ὑποστάσεσι διήρηται, τὸ ὅτι ἐνθάδε ἐστὶ μία τῶν τριῶν ὑποστάσεων, ἀχωρίστως καὶ ἀδιαλείπτως δύο τῇ φύσει συνόντων, ὡς συνδημιουργοῦ καὶ τοῦ παντὸς προνοητικοῦ. Αχ. καλῶς τὰ ἀπόρρητα διεξέρχῃ· ἀλλὰ τί δήποτε ὁ Χριστὸς τὸ σῶμα αὐτοῦ ἐαυτὸν τοῖς εἰς αὐτὸν πιστεύουσι παρέδωκεν. Σα. Ἀρρήτῳ φιλανθρωπίᾳ καὶ θαυμαστῇ οἰκονομίᾳ ἐχρήσατο· τοῦτο μὲν, πρὸς ἀπόδειξιν τῶν ἐναντίων δυνάμεων· τοῦτο δὲ, καὶ εἰς προποίησιν ἡμῶν ψυχῆς ἅμα καὶ σώματος· ὅπερ οὐκ ἦν δυνατὸν ἔτι καὶ σωματικῶς ἡμῖν τοῖς ἐπὶ γῆς τὸν Χριστὸν μέχρι συντελείας τοῦ αἰῶνος συναναστρέφεσθαι καὶ συνδιάγειν, καὶ τοῖς πνευματικοῖς νόσοις ἡμῶν ἐκάστῃ ὥρᾳ ἰᾶσθαι· διὰ τοῦτο τοίνυν πανοδύναμος ὢν καὶ πολυεύσπλαγχνος καὶ φιλάνθρωπος, ἠβουλήθη ἡμᾶς μὴ χωρίζεσθαι ἀπ' αὐτοῦ, ἀλλ' ὡς τέκνα αὐτοῦ συνοῦσαν διὰ τῆς μετοχῆς καὶ κοινωνίας τοῦτου τοῦ ἄρτου καὶ τοῦ οἴνου καὶ τοῦ ὕδατος, ὡς συνηθεστέρων ὄντων τῇ ἡμετέρᾳ φύσει καὶ μὴ βδελυκτῶν, εἰς σῶμα αὐτοῦ καὶ αἷμα μεταβαλλομένων θείᾳ δυνάμει κατὰ τὴν αὐτοῦ πρόσταξιν· ὃ καὶ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, καὶ φυλακτήριον ψυχῆς τε

καὶ σώματος τοῖς πιστοῖς ἀξίως μεταλαμβάνοντι γίνεται· ἐὰν γὰρ μὴ φάγητε, ἔφη, τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ὁ δὲ ἡμῖν οὕτω παραδοθεὶς, καὶ φυλάττεται καὶ ἀναμφιβόλως πιστεύεται, ἀληθὴς ἂν αὐτὸς ἔλθῃ κατὰ τὴν τοῦ Παύλου φωνήν. Αχ. αὕτη ἄρα ἡ κοινωνία καὶ ἡ θυσία τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ ἣν προσφέρετε οἱ ἱερεῖς, σῶμα δὲ αἷμα ἀληθινόν ἐστι Χριστοῦ, ἡ ἀντίτυπος τοῦ σώματος αὐτοῦ, ὡς ἡ θυσία τοῦ προβάτου ἣν ἰουδαῖοι προσάγουσι; Σα. μὴ γένοιτο ἡμᾶς εἰπεῖν ἀντίτυπον τοῦ σώματος τοῦ Χριστοῦ τὴν ἁγίαν κοινωνίαν, ἢ ψιλὸν ἄρτον, ἢ τύπον, ἢ εἰκόνα, ἀλλ' αὐτὸ τὸ σῶμα καὶ αἷμα ἀληθῶς Χριστοῦ τοῦ θεοῦ ἡμῶν τετελεσμένον μεταλαμβάνειν, τοῦ σαρκωθέντος καὶ γεννηθέντος ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· οὕτω γὰρ πιστεύομεν, καὶ οὕτως ὁμολογοῦμεν καὶ τὴν φωνὴν αὐτοῦ τοῦ Χριστοῦ, ὡς πρὸς τοὺς μαθητὰς ὅτε τοῦ δείπνου τὸ μυστικὸν παραδιδοὺς αὐτοῖς τὸν ζωοποιὸν ἄρτον, ἔλεγε, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα. ὡσαύτως καὶ τὸ ποτήριον παραδιδοὺς αὐτοῖς, φησὶ, τοῦτό μου ἐστὶ τὸ αἷμα· οὐκ εἶπε, τοῦτο μου ἐστὶ τὸ ἀντίτυπον τοῦ σώματος καὶ τοῦ αἵματος, ἢ ἡ εἰκών. καὶ ἐν ἑτέροις δὲ πλείοσι τόποις φαίνεται ὁ Χριστὸς εἰπὼν, ὅτι ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον. λοιπὸν, αὐτὸς τοῦ Χριστοῦ μαρτυρήσαντος, ὅτι σῶμα αὐτοῦ ἐστὶν ἀληθῶς καὶ αἷμα, ὃ καὶ οἱ πιστοὶ προσάγοντες μεταλαμβάνομεν, τί δεῖ πλέον περὶ τούτου ἀμφιβάλλειν, εἰ θεὸν καὶ υἱὸν τοῦ θεοῦ αὐτὸν εἶναι πιστεύομεν· εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος τὸν κόσμον πεποίηκε, καὶ ὁ αὐτὸς λόγος ἀληθής ἐστι καὶ ζῶν καὶ ἐνεργὴς καὶ παντοδυνάμως, καὶ πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν, οὐ δυνάται τὸν ἄρτον εἰς τὸ ἴδιον αὐτοῦ σῶμα μεταποιῆσαι, καὶ τὴν τοῦ ὕδατος καὶ οἴνου κρᾶσιν εἰς τὸ ἴδιον αἷμα; ὡς γὰρ εἶπεν ἐν τῇ ἀρχῇ, βλαστησάτω ἡ γῆ χλοάζουσαν βοτάνην, καὶ μέχρι τοῦ νῦν ὄντος αὐτοῦ βλαστάνει βοτάνας ἡ γῆ, ὑπὸ τῶν ἀστραπῶν καὶ βιαζομένη ὑπὸ τῆς κελεύσεως τοῦ θεοῦ· οὕτως εἶπεν ὁ θεὸς, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου, καὶ τοῦτο ποιήσατε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ ταύτῃ τῇ τοῦ παντοδυνάμου προσλήψει μέχρι τῆς αὐτοῦ δευτέρας παρουσίας, γίνεται, θεία ὀπτασία καὶ ὀπτοφοιτήσει τοῦ ἁγίου πνεύματος. Αχ. Ἀλλὰ μᾶλλον ὁ Χριστὸς ὑπὸ τῶν εἰδῶν τοῦ ἄρτου καὶ τοῦ οἴνου, καὶ ὕδατος, τοῦ σώματος αὐτοῦ κεκρυμμένου καὶ τοῦ αἵματος, μεταλαμβάνειν παρέδωκεν, ἢ ὑπὸ ἄλλην ὕλην. Σα. καὶ ἤδη εἴρηκα πρὸς τούτοις, καὶ πάλιν λέγω· θεοῦ συγκαταβάσει καὶ ἀφάτῳ προνοίᾳ, ἀφέσει τε καὶ ἀξιώσει εἰς ἡμᾶς τοῦτο ἐγένετο, ἵνα τοῖς τῆς φύσεως συνήθεσιν, εἰς τὸ φαγεῖν καὶ πιεῖν ἀναφῶμεν καὶ ἀναφερώμεθα εἰς τὰ ὑπὲρ φύσιν, φημὶ δὴ εἰς τὰ θεῖα μυστήρια. ἀλλ' οὖν ἐν πᾶσι τοῖς ἀνθρώποις βρώμασιν ὁ ἄρτος τὴν προσήκουσαν εἴληφε τάξιν, ὁμοίως καὶ ἐν τοῖς ποτοῖς τὸ ὕδωρ καὶ ὁ οἶνος προστέτακται. τούτοις τοίνυν, τῷ ἄρτῳ φημὶ καὶ τῷ οἴνῳ καὶ ὕδατι

ἡμῖν

ἡμῶν ἐθαθεῖσι συζεύξας ὁ κύριος τῷ ἀυτῷ θεότητα, τῇ δυνάμει τοῦ ῥήματος ἀυτοῦ, ἣ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγον, εἰς τὸ ἴδιον ἀυτοῦ σῶμα καὶ αἷμα αὐτὰ μεταβάλλει· ἄρτος μὲν ὅμως καὶ οἶνος φανταζόμενα καὶ φαίνεται. καὶ τοῦτο τῇ οἰκονομικῇ ἐνέργειᾳ καὶ συγκαταβάσει δωρεᾷ, ἀφαιρεῖται ἡμᾶς τῷ φείδεσθαι καὶ τὸν φόβον, ὃν φείδεσθαι κατείχομεν ἄν, εἰ τῷ αὐτοῦ σάρκα ἐν τῇ αὐτῆς ἰδίᾳ εἴδει, καὶ τὸ αἷμα ἐκέλευον ἡμᾶς λαμβάνειν. πρὸς τούτοις δὲ, καὶ τὰ ἐκ φυλακῆς ἡμῖν, ἡμεῖς σαρκοβορεῖν κατεγνώσθημεν δῶ, λέγοντα δίκην θηρίων ἡμᾶς αἱμοποτεῖν καὶ ὠμοβορεῖν, ἀφ' ὧν τῷ ἀπιστίαν, ἄρτον μόνον καὶ οἶνον ὁρῶσιν· οἱ δὲ πιστοὶ, σῶμα τοῦ χριστοῦ, καὶ αἷμα τὸ ἐκ τῆς ἀχράντου χρόμενον πλευρᾶς· ὥσπερ καὶ ἐν τῇ τοῦ βαπτίσματος λουτρείῳ οἱ ἀπιστίᾳ κατεχόμενοι, ὕδωρ μόνον ὅτι τῆς κολυμβήθρας ὁρῶσιν· οἱ δὲ πιστοὶ, τὸ ὕδωρ καὶ πῦρ καὶ πνεῦμα καθορῶσιν. ὅτεν δὲ καὶ ἐκεῖνοι μέτοχοι γίνονται τοῦ βαπτίσματος, ὅτε καὶ αὗτοι τὸ βέβαιον ἐκ τοῦ ἀγίου λαμβάνουσι πρὸς τὸν ἀόρατον ἀγωνίζεσθαι. ὥστε, εἴ τις ὅστιν ἐν τῇ ὕδατι χάρις, οὐκ ἐκ τῆς φύσεως ἐστι τοῦ ὕδατος, ἀλλ' ἐκ τῆς τοῦ πνεύματος προσεσίας. Αχ. πρόδηλον ὅτι πάντα ἔστιν καλῶς κηρυττόμενα καὶ διεξέρχεται τῆς πίστεως τοῦ χριστοῦ μυστήρια· πρὸς τούτοις δὲ ἀπορήσειν ἄν τις, πῶς εἷς ὢν ὁ θεὸς καὶ τὸ σῶμα τοῦ χριστοῦ ἓν, εἰς ἀναρίθμητα σώματα καὶ μέρη διαιρεῖται. πολλοὶ γὰρ διαιρούμενα ἄρτα χριστοί εἰσιν, ἢ εἷς, ἢ ἐν ἑκάστῳ μέρει εἷς, καὶ ὁ αὐτὸς σῶς καὶ ὁλόκληρος. Σα. ἐκ τῶν ἀιθητῶν καὶ ὑλικῶν πραγμάτων, τὰ ἄυλα καὶ τὰ ὑπὲρ φύσιν ἀποδεικνύομεν. ἀκουέτω τοίνυν τούτου τοῦ πράγματος, καὶ νοείτω τῷ ἐν αὐτῷ ἐγκεκρυμμένῳ τοῦ λόγου δυνάμει. θετέον· κατοπτρόν εἰς ἐμπεκῶς πρεσσούσι, καὶ εἰς πολλὰ κλάσματα κατέκλασεν· ἐν ἑκάστῳ μὲν ὅμως κλάσματι τῷ σκιαὶ σῶαν εἷς ὁρᾶται· ὅτω νοήσαι ἄν τις καὶ ἐκ ταύτης τῆς σκιᾶς, τῷ τοῦ χριστοῦ σάρκα εἶναι σῶμα τὸ ὁλόκληρον ἐν ἑκάστῳ κλάσματι καθ' ὥραν καὶ ὁσάκις καὶ πόσα τοῦ κλωμένου. καὶ αὖθις λάβε καὶ ἕτερον παράδειγμα· πολὺ ὅ, τι δύθεφτος ῥῆμα πρὸς φέρων λέγει, καὶ ὁ λέγων νοῦς αὐτὸ καὶ ἀκούει, καὶ οἱ πρὸς αὐτὸν ἀκούοντες, εἰ καὶ πολλοὶ εἰσὶν οἱ ἀκούοντες, οὐ διηρημένον, ἀλλ' ὁλόκληρον τὸν αὐτὸν ἔστιν θετέον καὶ ὅτι τοῦ σώματος τοῦ χριστοῦ. τὸ τοῦ χριστοῦ πνευματικὸν σῶμα, καθαζόμενον πρὸς τὸν πατέρα, μένει ἐν αὐτῷ· ἀλλὰ δὴ τὸ ἱερουργούμενος ἄρτος εἰς τὸ ἀληθὲς τοῦ χριστοῦ σῶμα μεταβαινόμενος δυνάμει θείᾳ δι' ἐπιφοιτήσεως τοῦ πνευματικοῦ πνεύματος, καὶ πρὸς μιγίζεται, ἀλλ' ὁλόκληρον καὶ σῶον ἐν ἑκάστῳ κλάσματι σώζεται, ὡς καὶ ὁ λόγος τοῦ λέγοντος πρὸς πολλοὺς τοὺς ἀκούοντας, ὁλόκληρος καὶ οὐ διηρημένος ἀκούεται. ὅτω δὴ τῶν ὁρατῶν καὶ ἀιθητῶν πραγμάτων τοὺς ἀπειθεῖς καὶ πρεσεέρχεις εἰς τὸ κατανοῆσαι τὰ τοῦ θεοῦ μυστήρια ὑπὲρ φύσιν καὶ λόγον τὸν ἔννοιαν καὶ ὑπὲρ ἡμᾶς ὄντα δυάζομεν. ὅτεν τοίνυν ὁ ἀ-

γιαθεὶς ἄρτος εἰς μέρη τέμνηται, ὃς ὃ πνεύματον τοῦ χριστοῦ ἐστὶ σῶμα, μὴ νομίσῃς ὅτι μερίζεται ἢ ἀποσπᾶται ἢ διαιρεῖται ὃ ἄχραντον ἐκεῖνο σῶμα· ἀθάνατον γὰρ καὶ ἄφθαρτον καὶ ἀδιαπόνητον· ἀλλ' ὅτι μεριστὸς ἐστὶν ἐκεῖνος τῶν ἁγιαθέντων συμβεβηκότων μόνον μετὰ τὸν ἁγιασμόν, τοῖς πιστοῖς πίστεως καὶ τοῦ δόξασιν ὁρατοῦ σημείου τῶν μυούντων, καὶ ἀῤῥαβῶνα καὶ ἐφόδιον ζωῆς αἰωνίου. Αχ. Οὕτως θαυμαστὰ καὶ τοῦ δόξα καὶ ὑπὲρ φύσιν καὶ νοῦν καὶ ἔννοιαν δύνασθαι πίνειν τὰ τῆς πίστεως τῶν χριστιανῶν ἀπόῤῥητα μυστήρια, πάτερ ἀββᾶ· εὐχαριστῶ δέ σοι, ὅτι καὶ ἡμῖν ἀπέδειξας ἄγγελον ὁμαλώτατον καὶ λόγον καὶ θηθὲς δόγμα, τὸν χριστὸν πνευματοδωάμενον καὶ φιλανθρωπον καὶ θεηθῆ θεὸν ὑποδεικνύον, ἐξ οὗ ἀπελήλαται ὃ φθόνος· ἐξελήλαται δὲ καὶ πᾶσα φαντασία. ἀλλ' ἴωμεν· ἀγίως γὰρ ταῦτα πεφιλοσόφηται· μυωπίζομεν δ' ἔτι μᾶλλον, ἐπεὶ ὡς ὁρᾶν, κέκλικεν ἡ ἡμέρα.

ΜΑΡΚΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΕΦΕΣΟΥ, ΟΤΙ ΟΥ ΜΟΝΟΝ ΑΓΟ

τῆς φωνῆς τῶν δεσποτικῶν ῥημάτων ἁγιάζονται τὰ θεῖα δῶρα, ἀλλ' ἐκ τῆς μετὰ ταῦτα εὐχῆς καὶ εὐλογίας τοῦ ἱερέως δυνάμει τοῦ ἁγίου πνεύματος.

ΗΜΕΙΣ ἐκ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν ἁγιαδεξαμένων αὐτοὺς διδασκάλων τῆς ἐκκλησίας, τὴν τῆς μυστικῆς λειτουργίας ἔκθεσιν παραδεδωκότες, πρὸς οὐδενὶ τούτων εὑρεθήσεται τῶν αὐτῶν τῶν δεσποτικῶν ῥημάτων καὶ μόνον ἁγιάζεσθαι καὶ τελειοῦσθαι τὸ τῆς εὐχαριστίας δῶρον, καὶ τοῖς αὐτὸ τὸ δεσποτικὸν σῶμα καὶ αἷμα μεταποιεῖσθαι· ἀλλὰ τοιαῦτα μὴ διηγηματικῶς τὰ ῥήματα τοῦ πᾶσι συμφώνως, ἡμᾶς τε ἀναφέρουσι τὰ τοῖς τὴν μνήμην τοῦ τότε παθόντος, καὶ δύναμιν ὡσαύτως ἐνιέντα τοῖς τοιούτοις εἰς τὴν μεταβολήν· ὑπεμνηματίζω δὲ μετὰ ταῦτα τὴν εὐχὴν τε καὶ εὐλογίαν τοῦ ἱερέως, ἐνεργείᾳ μεταποιεῖν ἤδη τὰ δῶρα τοῖς αὐτὸ τὸ τοιοῦτον ἐκεῖνο σῶμα καὶ αἷμα τὸ δεσποτικόν. Ταῦτα δὴ καὶ αἱ ἐκθέσεις αὐταὶ μαρτυροῦσι, σύμφωνοι πρὸς ἡμῖν εἰσιόμεναι· καὶ ὁ λόγος ὑπὲρ ταύτης ἀποδοθήσεται· ἐν μὲν γὰρ τῇ συγγραφείσῃ παρὰ Κλήμεντος λειτουργίᾳ τῶν ἱερῶν ἀποστόλων, μετὰ τὸ διηγήσασθαι τὰ δεσποτικὰ θαύματα καὶ τὰς τοιαύτας, ἔτι δὲ τὰ περὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, οὕτω κεῖται ῥητῶς· Μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι θεὲ παντοκράτορ,

οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν ἀφάπαξιν αὐτοῦ πληρῶμεν· ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσὶ, καὶ ἀναβλέψας πρὸς σε τὸν θεὸν αὐτοῦ καὶ πατέρα, καὶ κλάσας, ἔδωκεν ἡμῖν τοῖς μαθηταῖς αὐτοῦ εἰπών· λάβετε φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου τὸ περὶ πολλῶν θρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὡσαύτως καὶ τὸ ποτήριον κεράσας ἐξ οἴνου καὶ ὕδατος, καὶ ἁγιάσας, ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. μεμνημένοι τοίνυν τοῦ πάθους αὐτοῦ καὶ τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου, καὶ τῆς μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ἐν ᾗ ἔρχεται κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομεν σοι τῷ βασιλεῖ καὶ θεῷ κατὰ τὴν αὐτοῦ ἀφάπαξιν, τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο, εὐχαριστοῦντές σοι δι' αὐτοῦ, ἐφ' οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου καὶ ἱερατεύειν σοι· καὶ ἀξιοῦμέν σε, ὅπως εὐμενῶς ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς θεὸς· καὶ εὐδοκήσῃς ἐπ' αὐτοῖς εἰς ἀμοιβὴν τοῦ χρεισοῦ σου, καὶ καταπέμψῃς τὸ πνεῦμά σου ἐπὶ τὴν θυσίαν ταύτην, τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ, ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον, σῶμα τοῦ χρεισοῦ σου· καὶ τὸ ποτήριον τοῦτο, αἷμα τοῦ χρεισοῦ σου. Ταῦτα μὲν οἱ θεῖοι ἀπόστολοι ἀφ' τῆς συλλαφῆς τοῦ μακαρίου Κλήμεντος τῇ ἐκκλησίᾳ παραδεδώκασιν. ὁ δέ γε θεῖος Ἰάκωβος ὁ τῆς Ἱεροσολύμων πρῶτος ἐπίσκοπος, καὶ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως ἀδελφὸς ὁμοῦ τε διάδοχος, καὶ αὐτὸς τὴν μυστικὴν ἐκτελούμενος λειτουργίαν, ἐν τῇ αὐτῇ μέρει μετὰ τὸ διηγήσασθαι τὰ δεσποτικὰ ῥήματα, τοιάδε γράφει· Μεμνημένοι οὖν καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ τῶν ζωοποιῶν αὐτοῦ παθημάτων, τοῦ σωτηρίου σταυροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν τοῦ θεοῦ καὶ πατρὸς καθέδρας, καὶ τῆς δευτέρας ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας, ὅτε ἔλθῃ μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, ὅτε μὴν ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, προσφέρομεν σοι δεσποτα τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν. καὶ μετ' ὀλίγα· Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ ἐξαπόστειλον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα τὸ πνεῦμά σου τὸ πανάγιον, τὸ κύριον καὶ ζωοποιὸν, τὸ σὺν θρονούμενον τῷ θεῷ καὶ πατρὶ, καὶ τῷ μονογενεῖ σου υἱῷ, τὸ συμβασιλεῦον, τὸ ὁμοούσιόν τε καὶ συναΐδιον, τὸ λαλῆσαν ἐν νόμῳ καὶ προφήταις, καὶ τῇ καινῇ σου διαθήκῃ, τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν χρεισὸν ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ μεῖναν ἐπ' αὐτὸν, τὸ καταβὰν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν ἐν τῇ

ἡμέρᾳ τῆς ἁγίας πεντηκοστῆς· αὐτὸ τὸ πνεῦμά σου τὸ πανάγιον καταπέμψον δέσποτα ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα ἅγια δῶρα ταῦτα, ἵνα ἐπιφοιτήσαν τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ προσόψει, ἁγιάσῃ καὶ ποιήσῃ, τὸν μὲν ἄρτον τοῦτον, σῶμα ἅγιον τοῦ χριστοῦ σου· καὶ τὸ ποτήριον τοῦτο αἷμα τίμιον τοῦ χριστοῦ σου. Τούτοις ἀκολουθοῦντες καὶ οἱ μετὰ ταῦτα τὴν αὐτὴν λειτουργίαν ἐπιτελοῦντες, ὁ τε μέγας Βασίλειος, καὶ μετ' αὐτὸν ὁ χρυσόστομος Ἰωάννης, ὁ μὲν τὸ μέρος γενόμενος, καὶ αὐτὸς διηνυόμενος τὴν τοῦ ἐκείνου ἱερουργίαν ἀπὸ τοῦ δεσπότου τὸν δεδομένον, Κατέλιπε, φησὶν, ἡμῖν ἀναμνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους, ταῦτα ἃ παρεδείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολάς· μνείαν γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τὰ ἅγια αὐτοῦ καὶ ἀχράντων χεῖρας, καὶ δείξας εἰς τὸν θεὸν καὶ πατέρα, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γενήματος τῆς ἀμπέλου λαβὼν, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών, πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. καὶ μετ' ὀλίγα· Διὰ τοῦτο δέσποτα πάνάγιε καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν· οὐ γὰρ ἐποιήσαμεν ἀγαθὸν ἐπὶ τῆς γῆς, ἀλλὰ διὰ τὰ ἔλεή σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ χριστοῦ σου, οὗ δεόμεθα καὶ σὲ παρακαλοῦμεν ἅγιε ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτὰ καὶ ἁγιάσαι, καὶ δείξαι, τὸν μὲν ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον σῶμα τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ· τὸ δὲ ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον αἷμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ, τὸ ἐκχυθὲν ὑπὲρ τοῦ κόσμου ζωῆς. ὁ δέ γε θεῖος Χρυσόστομος τὰ αὐτὰ πάλιν ἐπιπροσθεν ἀπαγγείλων, Ἐλθὼν ὁ κύριος, φησὶ, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶν, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών· λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. ὁμοίως καὶ τὸ ποτή-

ειον μετὰ τὸ δεῖπνῆσαι λέγων· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ μετὰ μικρὸν, οὕτως ἐπιστρωνάπτει. Προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν· καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ποίησον, τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου· τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. οὕτω μὲν ἅπαντες ὅτι συμφώνως, προλέγουσι μὲν τὰ δεσποτικὰ ῥήματα, καὶ δι' αὐτῶν εἰς μνήμην ἡμᾶς ἄγουσι τοῦ τότε προχθέντος, καὶ τὴν ἀγιαστικὴν δύναμιν ἐνιᾶσι τελουμένοις· ἐπεύχονται δὲ ὕστερον, καὶ τὴν τοῦ ἁγίου πνεύματος ἐπικαλοῦνται χάριν, ὥστε αὐτὴν ἐλθοῦσαν, τὰ εἰρημένα τότε, τοῖς νῦν ἐφαρμόσαι, καὶ τὰ προκείμενα τελεῖσαι, καὶ προὸς τὸ δεσποτικὸν σῶμα καὶ αἷμα μεταποιῆσαι αὐτῆς· καὶ ἐν τῇ μήτρᾳ τῆς παρθένου τὴν θεοφόρον ἐκείνην στερεώσατο σάρκα, καὶ τὸ εἰρημένον πρὸς αὐτὴν· ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Διὰ τοῦτο καὶ ὁ μέγας Βασίλειος, μετὰ τὸ εἰπεῖν τὰ δεσποτικὰ ῥήματα διηγηματικῶς ὡς παρ' αὐτοῦ εἰρημένα ἐπὶ τοῦ ἁγίου σώματος καὶ αἵματος, ἀντίτυπα καλεῖ τὰ προκείμενα, δῆλον ὡς μήπω τετελεσμένα διὰ τῶν ῥημάτων ἐκείνων, ἀλλ' ἔτι τύπον τινὰ καὶ εἰκόνα φέροντα. καὶ οὕτως οὐδὲ ἐφεξῆς τὸ πνεῦμα τὸ ἅγιον ἐλθεῖν ἐπεύχεται, καὶ ἀναδεῖξαι, τὸν μὲν ἄρτον, αὐτὸ τὸ τίμιον σῶμα· τὸ δὲ ποτήριον, αὐτὸ τὸ τίμιον αἷμα. καὶ τοῦτό γε λίαν εἰκότως· καθάπερ γὰρ ἐπὶ τῆς πρώτης ἐκείνης δημιουργίας, ἔλαβε μὲν ἡ γῆ τὴν τοῦ βλαστάνειν τὰ ἐξ αὐτῆς δύναμιν διὰ τοῦ θείου προστάγματος, καὶ τὸ πρόσταγμα ἐκεῖνο καθά φησιν ὁ αὐτὸς διδάσκαλος, ἐνα πομείνῃ τῇ γῇ, τὴν τοῦ βλαστάνειν αὐτῇ δίωνεκῶς παρέχεται δύναμιν· χρεία δ' ὅμως καὶ ἡμετέρας ἐπιμελείας, καὶ γεωργικῆς χειρὸς εἰς τὸ τελεσιουργεῖν τὰ φυόμενα· τὸν αὐτὸν τρόπον καὶ ὁ λόγος ἐστὶ, ἅπαξ ῥηθεὶς ἐπὶ τοῦ σωτῆρος, ὡς καὶ ὁ θεῖος φησι Χρυσόστομος, διὰ παντὸς ἐνεργεῖ· συνεργεῖ δὲ ὅμως καὶ ἡ τῆς θείας ἱερωσύνης δύναμις, διὰ τῆς εὐχῆς καὶ τῆς εὐλογίας εἰς τὴν τῶν προκειμένων τελείωσιν· αὕτη γὰρ καὶ τοῦ βαπτίσματος ὕδωρ, ὕδωρ ὂν ἁπλῶς ἐκ τοῦ φαινομένου, πάσης ἁμαρτίας καθαρτικὸν ἀπεργάζεται, τοῦ θείου πνεύματος ἀθεωρήτως συνεπέχοντος· αὕτη καὶ τὸ χρίσμα τοῦ μύρου καὶ τοὺς ἱερεῖς αὐτοὺς καὶ τὰ ἄλλα πάντα τῆς ἐκκλησίας μυστήρια τελεσιουργεῖ, διὰ τοῦ παναγίου πνεύματος χαίροντος. οὐ τοίνυν τῇ ἡμετέρᾳ εὐχῇ θαρροῦντες, οὐδὲ τῶν ῥημάτων ἐκείνων ἀδυναμίαν καταγινώσκοντες, ἐπευχόμεθα τοῖς προκειμένοις, καὶ οὕτως αὐτὰ τελεῖσθαι πιστεύομεν, ἀλλὰ καὶ τὰ ῥήματα τὴν οἰκείαν σώζειν ὁμολογοῦμεν ἰσχύν, καὶ τὴν τῆς θείας ἱερωσύνης ἐπιδείκνυμεν

δυνάμει, τελεωτικὴν οὖσαν πρὸς μυστηρίου τῆς ὑπηκόου τοῦ δι' αὐτῆς ἐνεργουμένου ἁγίου πνεύματος· οὕτω γὰρ καὶ ὁ θεῖος Χρυσόστομος αὐθις, ἐν ᾧ περὶ ἱεροσυνῶν τρίτῳ περὶ αὐτοῦ τούτου τοιάδε φησίν· Εἰκὼν ὁ ἱερεὺς, οὐ πῦρ καταφέρων, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν ἱκετηρίαν ὑπὲρ πολὺ ποιούμενος, οὐχ ἵνα τὰς λαμπὰς ἀνῶν ἀφθείσας, κατεμαλώσῃ τὰ προκείμενα, ἀλλ' ἵν' ἡ χάρις ὑπιπτεύουσα τῇ θυσίᾳ, δι' ἐκείνης τὰς ἀπεμπτῶν ἀναλύῃ ψυχάς, καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πεπυρωμένου. ἀλλ' ὅσῃ ἀμφιβολίαν ἐκεῖ καὶ ἀδηλίαν οὐχ ὁμοίως ἡμᾶς ἐπιπεσεῖν, αὐτοῦ τοῦ θυμιάματος καὶ μεταλαμβανομένου διεστῶτος κελεύσαντος τοῦτο ποιεῖν ἡμᾶς· τοῦτο γὰρ φησι, ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· καὶ ἐπαγγελλόμενος δώσειν πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτὸ ἅπασι, μή τι γε ἱερεῦσι, καὶ σφόδρα γε βουλομένου τοῦτο καθ' ἑκάστην ὑπὲρ τελεῖσθαι πρὸς ἡμῶν, ὡς ἀπὸ πάντων ἑξῆς ἀναφανεῖ. ἢ σύγε τυχὸν ἐκ τούτου, καὶ τὸ βάπτισμα ἐπιπεύσας, δι' εὐχῶν ὁμοίως καὶ ὑπηκόοις τελεσθέν, καὶ τὴν ἁμαρτίαν ἄφεσιν, εἰ δηλαδὴ ἐδέξω, δίσταγμόν τινα ἐρεῖς ἀπὸ τῆς ἱεραρχικῆς χάριτος ὑπιδιδομένου; καὶ τὰ ἄλλα πάντα ὁμοίως ἐκκλησιαστικὰ μυστήρια ἀναγράψας. ἀλλ' οὐκ ἔστι ταῦτα οὐκ ἔστι· πιστὸς γὰρ ὁ ἐπαγγελλόμενος, μεθ' ἡμῶν ἔσεσθαι τὰς ἡμέρας ἁπάσας, ἄχρι τῆς συντελείας τοῦ αἰῶνος. ἡμεῖς μὲν δὴ τὰ τῆς ἁγίας ἀποστόλου καὶ τῶν ἐκείνοις ἐκδεξαμένων παραλαβόντες, καὶ κατέχομεν ἀμεταπτώτως, καὶ τὸν γεγενημένον ἐπ' αὐτοῖς ἀποδίδομεν λόγον. ὅτι δὲ ὁ τοῦ κυρίου τῆς μυστηρίων λόγος, ἐν εἴδει διηγήσεως λεγόμενος, τρεῖς ἀγιασμοὶ δώρων ἀρκεῖ, τοῦδεῖς τε τῆς ἀποστόλων, τε τῆς διδασκάλων εἰπὼν φανεῖται· ἀλλ' ὅτι μὲν ἅπαξ ἐπὶ ἐκείνου ῥηθεῖς, αὐτῷ τῷ ἐπὶ ἐκείνου ῥηθῆναι, καθάπερ ὁ δημιουργικὸς λόγος ἀεὶ ἐνεργεῖ, τοῦτο φησὶν ὁ τὴν Γλῶτταν χρυσοῦς Ἰωάννης. ὅτι γὲ καὶ ἐπὶ τοῦ ἱερέως λεγόμενος, ἀφ' οὗ ἐπὶ αὐτοῦ λέγεσθαι τοῦτο δυνάτον, οὐδαμόθεν ὅθεν μαθεῖν ἐπεὶ ὅσῃ αὐτὸς ὁ δημιουργικὸς λόγος ἐνεργεῖ, ὅτι ἐφ' ἑκάστῳ τῶν γινομένων ἐπὶ τινος ἀνθρώπου λέγεται· ἀλλ' ὅτι ἐστὶν ἅπαξ ἐπὶ τοῦ θεοῦ εἰρημένος. καὶ μὴν ὅσῃ αὐτὸς φήσειεν ἐνεργεῖν τὸν διεστῶτα λόγον, ἐπὶ τοῦ τυχόντος ἁπλῶς λεγόμενος, ὅσῃ αὐθὶ θυσιαστηρίου. εἰ τοίνυν ἱερέως δεῖ καὶ θυσιαστηρίου, καὶ τῶν δώρων ὅσα πρὸς τοῦτο συντείνει, ἀφ' οὗ μὴ καὶ εὐχῶν δεήσεις εὐλογίας, καὶ τῆς δι' αὐτῆς ὑπιφοιτήσεως τοῦ ἁγίου πνεύματος, ἢ τις πάντα τελεῖται μυστήρια. πρὸς τούτοις, ὁ ἱερὸς Διονύσιος ὑπιμαρτυρήσων παρείτω τοῖς πρὸς ἡμῶν πεπεισμένοις· ἐν γὰρ τῇ θεωρίᾳ τοῦ τῆς συνάξεως μυστηρίου, Τὰς ἱερὰς, φησὶ, θεουργίας ὁ ἱεραρχὴς ὑμνήσας, ὑπὲρ τὴν ἱεροφαντίαν ἔρχεται· καὶ πρὸς τούτῃ ἐπὶ τούτῃ ἀπεπλεγεῖται καὶ ἀνάδοσιν, οὐ εἴπας τοῦτο, ποιεῖτε εἰς ἐμὴν τὴν ἀνάμνησιν. εἶτα τῆς θεομήτορος τούτῃς ἱεροφαντίας ἄξιος αἰτεῖ γενέσθαι, καὶ τῇ πρὸς ἐμὲ ἀφο-

μοιώσῃ

μοιώσῃ τὰ θεῖα πράγματα τελέσαι καὶ διαδοῦναι, καὶ τοὺς μεθέξοντας ἱεροφαντικῶς μεταχεῖν. εἶθ' οὕτως ἱεροῦργεῖ τὰ ἱόντα, καὶ ἐπ' ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῆς ἱερᾶς προσκυνήσεως· τὸν γὰρ ἐγκεκαλυμμένον καὶ ἀδιαίρετον ἄρτον ἀνακαλύψας, εἰς πολλὰ διέκοψεν, καὶ τὸ ἐπαίρον τὸ ποτήριον πᾶσι καταμερίσας, συμβολικῶς τὴν ἑνότητα πληθύει τὸ διαιρούμενον. καὶ μετ' ὀλίγα· Μεταχὼν δὲ καὶ μεταδοὺς ὁ ἱεράρχης, εἰς θυσιαστήριον ἱεραὶ καταλήγει. Ταῦτα σωφρᾶν ἕξεσι τῷ βουλομένῳ πάντι, οἷόν τε ἐστὶ σύμφωνα, τοῖς πρὸ ἡμῶν τελουμένοις, ἢ τοῖς παρὰ λατίνων ἡμεῖς μὲν γὰρ ἀκολουθοῦντες τοῖς ἱεροῖς ἀποστόλοις καὶ διδασκάλοις, καὶ τὰς ἐπ' αὐτῶν παραδεδομένας ἐκθέσεις, καὶ τύπῳ δὴ τῷ ἱεροφαντικῷ, τὰς ἱερὰς θεουργίας ὑμνοῦμεν, τουτέστιν ὡς αὐτὸς φησιν, τὴν δι' ἡμᾶς ἐπανθρώπησιν τοῦ θεοῦ, τὴν ὑπὲρ ἡμῶν αὐτοῦ θάνατον, τὴν θεομεσίδιον τῶν βαπτιζομένων, τὴν θείαν ὑποδεσίαν, τὴν διὰ τῆς φυλακῆς τῶν ἐντολῶν θέωσιν· εἶθ' οὕτως ὑπὲρ τὴν ἱεροῦργίαν ἐρρήθη μοι, πρότερον μὲν ὑπὲρ ταύτης ἀπολογούμεθα, καὶ ἀναδοῶμεν αὐτὰ τὰ διεστικὰ ῥήματα, ἃ τότε εἶπε· καὶ ὑπολέγομεν, ὅτι αὐτὸς προσέταξε, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· εἶτα τῆς θεομιμήτου ταύτης ἱεροῦργίας ἄξιοι αἰτήσωμεν γενέσθαι, καθὰ πρέπει αἱ ἐκθέσεις, ἱεροῦργοῦμεν τὰ ἱόντα διὰ τῆς εὐχῆς καὶ εὐλογίας, καὶ τῆς τοῦ θείου πνεύματος ὑπεροφοιτήσεως· καὶ τὸν ἐγκεκαλυμμένον τέως καὶ ἀδιαίρετον ἄρτον ἀνακαλύψαντες, εἰς πολλὰ διαιροῦμεν, καὶ τὸ ἐπαῖρον τὸ ποτήριον πᾶσι καταμερίζομεν. ὁ δὲ παρὰ λατίνοις ἱερεὺς, μέμνηται μὲν καὶ αὐτὸς διηγηματικῶς τῶν διεστικῶν ῥημάτων, ὅτι αὐτὸς προσέταξε, λάβετε, φάγετε, καὶ πίετε πάντες· καὶ, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ἱεροῦργεῖ δὲ οὐδὲν μᾶλλον, ἀλλ' οἴεται τὴν διήγησιν αὐτὴν τῶν ῥημάτων πρὸς τὸν ἁγιασμὸν καὶ τὴν ἱεροῦργίαν ἀρκεῖν εἶναι τὸν ἄζυμον ἄρτον ἐκεῖνον, οὐκ ἐγκεκαλυμμένον τέως, ἀλλ' ὅλον ἔτυχεν ὅτου λαβὼν καὶ ὑψώσας, μέρος μὲν ἀπορρήγνυσι, καὶ τῷ ποτηρίῳ ἐμβάλλει· τὸ δὲ λοιπὸν κατθίησιν εἰς τὸ σῶμα, καὶ τὸ ποτήριον οὐκ πιὼν ὅλον ὁμοίως, ἀπαράξεσθαι αὐτὸν προστέτακται τοῖς συλλειτουργοῦσιν αὐτῷ ἱερεῦσι, μηδενὶ μηδὲν μεταδοὺς, ὁ τὸ, λάβετε, φάγετε πάντες, καὶ πίετε ἐξ αὐτοῦ πάντες, μεγαλαυχῶν. Ταῦτα δὲ προδήλον φέρει τὴν ἐναντίωσιν καὶ πρὸς τὰς παραδεδομένας ἐκθέσεις καὶ ἐξηγήσεις, καὶ πρὸς τὰ διεστικὰ ῥήματα, καὶ πρὸς αὐτὰς τὰς ἐκείνων φωνάς; εἶτα τολμήσουσιν οὕτως ἔχοντες ἐγκαλεῖν ἡμῖν καὶ πρεσβεύειν τὰ ἡμέτερα καὶ ἐφερμηνεύειν, ὅτως ἀκόλουθα τοῖς ἁγίοις εἶναι; ἀλλ' ὁ Χρυσόστομος φησὶ τὸν διεστικὸν λόγον ἅπαξ ῥηθέντα, τὴν θυσίαν ἀπηρτισμένην ἐργάζεσθαι· ἅπαξ ῥηθέντα φησὶν, ἵνα μὴ ὑπὸ τοῦ ἱερέως λεγόμενον, ἀεὶ ἅπαξ ὑπὸ τοῦ Σωτῆρος ῥηθέντα, τὴν τελεστικὴν ἀεὶ δυνάμιν ἐνεῖναι τοῖς προσκειμένοις. οὐκ ἤδη καὶ ἐνεργείᾳ τελεῖν αὐτά· τοῦτο γὰρ ἦν τοῦ ἁγίου πνεύματος ὑπεροφοίτησις

ἐργάζεται διὰ τῆς τοῦ ἱερέως θυσίας. καὶ δῆλον ἐξ ὧν αὐτὸς ὁ χρυσοῦς τοῦ στόματος, ὡς πρότερον ἐξεθέμεθα· μετὰ τὸ εἰπεῖν τὰ δεσποτικὰ ῥήματα, Καταπέμψον, φησί, τὸν πνεῦμά σου τὸ ἅγιον, καὶ ποίησον, τοῦ μὲν ἄρτου τοῦτον, αἷμιον σῶμα τοῦ χριστοῦ σου· τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, αἷμιον αἷμα τοῦ χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. ταῦτα εἰ μὴ πείθοιεν τοὺς φιλονείκως ἔχοντας, ἐλεεῖσθαι ἂν εἶεν δίκαιοι τῆς διπλῆς ἀγνοίας, καὶ τῆς εἰς βάθος πωρώσεως.

ΤΟΥ ΈΝ ΑΓΊΟΙΣ ΠΑΤΡΌΣ ΗΜΩΝ ΓΕΡΜΑΝΟΥ ΑΡΧΙΕΠΙ-

σκόπου Κωνσταντινουπόλεως ἱστορία ἐκκλησιαστικὴ καὶ μυστικὴ θεωρία.

ΕΚΚΛΗΣΙΑ ἐστὶ ναὸς θεοῦ, τέμενος ἅγιον, οἶκος προσευχῆς, σύναθροισις λαοῦ, σῶμα Χριστοῦ, ὄνομα αὐτοῦ, νύμφη Χριστοῦ, ἐκκαλουμένη πρὸς μετάνοιαν καὶ πρὸς εὐχὴν τοὺς λαοὺς· τῷ ὕδατι τοῦ ἁγίου βαπτίσματος αὐτοῦ καθαριζομένη, καὶ τῷ αἵματι αὐτοῦ τῷ ἀμίαντον ἐρραντισμένη, καὶ νυμφικῶς ἑστολισμένη, καὶ τῷ τοῦ ἁγίου πνεύματος μύρῳ σφραγιζομένη, καὶ τὸν προφητικὸν λόγον, Μύρον ἐκκενωθὲν ὄνομά σοι, καὶ εἰς ὀσμὴν μύρων σου δραμοῦμαι, ὅτι ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν πώγωνα τοῦ Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τοῦ ὤμου τοῦ ἐνδύματος αὐτοῦ. Ἄλλως. Ἐκκλησία ἐστὶν ἐπίγειος οὐρανὸς, ἐν ᾗ ὁ ἐπουράνιος θεὸς ἐνοικεῖ καὶ ἐμπεριπατεῖ, ἀντιτυποῦσα τοῦ σταυροῦ καὶ τοῦ τάφου καὶ τοῦ ἀναστάσεως Χριστοῦ, δεδοξασμένη χωρὶς τοῦ σκηνοῦ τοῦ μαρτυρίου τοῦ Μωϋσέως, ἐν πατριάρχαις προτυπωθεῖσα, ἐν ἀποστόλοις προμηνυθεῖσα, ἐν ᾗ τὸ ἱλαστήριον, καὶ τὰ ἅγια τῶν ἁγίων, ἐν προφήταις προκηρυχθεῖσα, ἐν ἱερεῦσι κατακοσμηθεῖσα, καὶ ἐν μάρτυσι τελειωθεῖσα, καὶ ἐν τοῖς ἁγίοις αὐτῶν λαμπρύνοις ἐνθεωμασθεῖσα. Ἄλλως. Ἐκκλησία ἐστὶν οἶκος θεϊκὸς, ἔνθα ἡ μυστικὴ ζωοποιία γέγονε, καὶ τὰ ἔνδυτα τοῦ ἱερατείου, καὶ τὸ ἅγιον ἀπήλαιον· ἔνθα ὁ τάφος καὶ ἡ τράπεζα ἡ ψυχοτόφος καὶ ζωοποιός· καὶ οἱ ἐν αὐτῇ μαργαρίται, τὰ θεῖα δόγματα τῆς διδασκαλίας τοῦ κυρίου πρὸς τοὺς μαθητὰς αὐτοῦ.

ὁ τοῦ σημαντήρ, καὶ τὸν τύπον τῶν ἥλων, ἐν οἷς προσήλωσαν τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ κυρίου, ὃ ἐδόθησαν εἰς τὰ σπάρματα τῆς οἰκουμένης. Ἄλλως. Τὸ σημαντήριον ἀνίσταται τὰς τῶν ἀγγέλων σάλπιγγας, καὶ διεγείρει τοὺς ἀγωνιστὰς πρὸς πόλεμον τῶν ἀορατῶν ἐχθρῶν.

Τὸ βάπτισμά ἐστι, καθὼς ὁ θεὸς διετάξατο τῷ Μωϋσῇ λέγων, Καταβὰς λάβε μύρον τῷ λαῷ τούτῳ, καὶ ἁγίασον αὐτοὺς, καὶ πλυνάτωσαν τὰ ἱμάτια αὐτῶν, καὶ ἑτοίμους τοῦ διαβῆναι εἰς τὸ ὄρος πρός με· καὶ πάλιν διὰ Ἡσαΐου τοῦ προφήτου λέγει κύριος ὁ θεὸς, Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρείας ἀπὸ τῶν ψυχῶν ὑμῶν· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡσεὶ χιόνα λευκανῶ· καὶ πάλιν αὐτὸς ὁ κύριος λέγει, Ἐὰν

μὴ ἓς γεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐ δυνάται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· καὶ τοῖς αὐτοῦ ἀποστόλοις παρήγγειλε λέγων, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. βεβαπτίσμεθα δὲ κατὰ τὸν θάνατον αὐτοῦ τοῦ χριστοῦ, καὶ τὴν ἀνάστασιν αὐτοῦ· ἀφ' ἧς τῆς ἐν τῷ ὕδατι καταδύσεώς τε καὶ ἀναδύσεως, τριπλῆς τε ἐπικλύσεως, τὴν τριήμερον τάφον καὶ τὴν ἀνάστασιν αὐτοῦ τοῦ χριστοῦ ὁρῶμεν καὶ ὁμολογοῦμεν· ἔτι δὲ καὶ ὅτι αὐτὸς ἐβαπτίσθη ἐν τῷ Ιορδάνῃ ὑπὸ Ιωάννου.

Τὸ χρίεσθαι ἐλαίῳ τοὺς βαπτιζομένους, ὅτι κατὰ τὸ ἔλαιον ὃ ἐχρίοντο οἱ βασιλεῖς καὶ ἱερεῖς καὶ οἱ προφῆται, καθὼς καὶ ὁ χριστὸς ἐχρίσθη, ὡς βασιλεὺς καὶ ἱερεὺς τῷ χρίσματι τῆς σφραγίδος. ἔστι δὲ καὶ ὃ μὴ δύνασθαι τὸν διάβολον κρατεῖν ἡμῶν τῷ κράτει τῆς ἁμαρτίας τοῦ θανάτου, ὅ ἐστιν, ὃ προξενήσας τοῦ Αδὰμ ἐπεληλύθει ἡμῖν θάνατος.

Τὸ ὕδωρ ἐστὶ μυστικῶς ἐμφαῖνον ἡμῖν τὸ μυστικὸν λουτρὸν τοῦ ὕδατος καὶ τοῦ πυρὸς τοῦ ἁγίου πνεύματος, εἰς κάθαρσιν τοῦ ῥύπου τῆς ἁμαρτίας ἡμῶν, καὶ ἀναζήτησιν τῆς παλιγγενεσίας, καὶ ζωῆς αἰωνίου ἀνάληψιν· δι' οὗ βαπτίσματος τὴν υἱοθεσίαν δεξάμενοι, ἀπηλλάγημεν τῆς δουλείας, καὶ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ ἀπελαύομεν τὴν ἐλευθερίαν τῆς χάριτος τοῦ υἱοῦ τοῦ θεοῦ, ἐν ᾧ ἁγιάσας καὶ καθαρίσας ἡμᾶς ὕδατι καὶ πνεύματι, προσήγαγε τῷ θεῷ καὶ πατρὶ λέγων, Πάτερ δίκαιε, ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκας, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι, καὶ γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ιησοῦν χριστόν, τοὺς εἰς αὐτοὺς κληρονόμους τῆς βασιλείας μου. περὶ ὧν φησὶν ὁ πατήρ· Οτι κατοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαὸν ἡγιασμένον, εἰς βασίλειον ἱεράτευμα. Τὸ ἅγιον πνεῦμα βεβαιοῖ τὰς ἐπαγγελίας, ὡς μάρτυς πιστὸς καὶ ἀψευδόγραφος, πληροφορῶν ἡμᾶς. ἴδοι' ὅπου γραφεῖν ἀγίδιον· καὶ γὰρ ὑπογράφει τὴν ἀγίδιον τριάδα λιβέλλου δίκην τὸ πνεῦμα τὸ ἅγιον, ὡς γλῶσσα τοῦ θεοῦ καὶ πατρὸς, καὶ κάλαμος γραμματέως ὀξυγράφου. ἀφαιρέτον οὖν ἐν τῇ σημειώσει τοῦ χριστοῦ, οὐ ἀφ' μέρους καὶ χάρτου, ἀλλὰ ἀφ' μέρους τῆς χρίσεως, καὶ ὡς ἐν τόμῳ καινῷ ταῖς πλαξὶ τῶν καρδιῶν τῶν πιστῶν τὸν φανερὸν τοῦ χριστοῦ ἐγχαράττον, καθὼς φησὶν ὁ προφήτης, Καὶ ἔγραψα τὸν νόμον μου, φησὶν ὁ θεός, ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ἐν σημειώσομαι αὐτὸν ἐπὶ τὸ μέτωπον αὐτῶν, τοῦ σημειωθῆναι αὐτοῖς τὸ φῶς τοῦ προσώπου μου, καὶ εἰς αὐτοὺς ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ, δηλονότι ἡμᾶς καὶ κληρονόμους τῆς αὐτοῦ βασιλείας, καὶ υἱοὺς γνησίους καὶ συγκληρονόμους αὐτοῦ, ἐὰν περ καὶ ἀγωνισώμεθα φυλάξαι τὸ ἅγιον βάπτισμα σῶον, καὶ τὴν σφραγῖδα σῶαν. ἡ κόγχη ἐστὶ, κατὰ τὸ ἐν Βηθλεὲμ σπήλαιον, ὅπου ἐγεννήθη ὁ χριστός·

καὶ

καὶ κατὰ τὸ σπήλαιον ὅπου ἐτάφη, καθὼς φησὶν ὁ εὐαγγελιστὴς Μάρκος, ὅτι ἦν σπήλαιον λελατομημένον ἐκ πέτρας, καὶ κεῖ ἔθηκαν τὸν Ἰησοῦν.

ἡ δὲ ἐκκλησία ἐστὶν ἔνδα ἡ μυστικὴ ζωοφυσία γίνεται· καὶ τὰ ἔνδον τοῦ σπηλαίου, ἔνδα ὁ τάφος κεῖται αὐτοῦ, ἔνδον τοῦ ἱερατείου.

ἡ δὲ κόγχη τοῦ θυσιαστηρίου, ἡ μετάθεσις ἐστὶ τοῦ σταυροῦ· οἱ πύργοι δὲ, τὰ σημεῖα. διὰ τοῦτο δὴ ἀμφότερα λογίζεται εἶναι εἰς πρόσωπον τῶν ἱερουργούντων. ἡ ἁγία τράπεζα ἐστὶν, ἀντὶ τοῦ τόπου τῆς ταφῆς, ἐν ᾧ ἐτέθη ὁ χριστὸς, ἐν ᾗ κεῖται ὁ δηλητινὸς καὶ θεάνθρωπος ἄρτος, ἡ μυστικὴ καὶ δυάμαχλος θυσία, ζωοφυτόμενος τιμὴ σάρκα αὐτοῦ καὶ τὸ αἷμα, εἰς βρῶσιν καὶ πόσιν ζωῆς αἰωνίου παρέθηκε τοῖς πιστοῖς. ἔστι δὲ καὶ θρόνος θεοῦ ἡ αὐτὴ, ἐν ᾧ ὁ ἐπουράνιος θεὸς, ὁ ὑπὲρ τῶν χερουβὶμ ἐπορεύμενος, σῶμα τῶν θείων ἐπόμενος πάσατο· καθὼς ἰδὼν τράπεζαν καὶ ἐν τοῦ μυστικῷ αὐτοῦ δείπνῳ, μέσον τῶν ἀποστόλων αὐτοῦ καθίσας, καὶ λαβὼν ἄρτον καὶ οἶνον, εἶπε τοῖς αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, λάβετε, φάγετε καὶ πίετε ἐξ αὐτοῦ· τοῦτο γὰρ ἐστὶ τὸ σῶμά μου καὶ τὸ αἷμά μου. παρέθετο πάλιν δὲ ἐν τῇ νομικῇ τραπέζῃ, ἔνδα ἦν τὸ μάννα, ὅ ἐστι χριστὸς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἡ ἁγία τράπεζα ἐστὶν, ἀντὶ τῆς τραπέζης τοῦ χριστοῦ σὺν τοῖς μύσταις· καὶ οἱ ἐν αὐτῇ μυστηρίται, τὰ θεῖα δόγματα τῆς διδασκαλίας τοῦ χριστοῦ πρὸς τοὺς μαθητάς.

τὸ κιβώριόν ἐστιν ἔνδα ἐστὶν ἡ σαύρωσις, ἀντὶ τοῦ τόπου ὅπου ἐσταυρώθη ὁ χριστός· ἐλεὺ γὰρ ὁ τόπος· καὶ ὑψόθα θεὸς, ὅπου ἐτάφη· ἀλλὰ διὰ τὸ ἐν σύντομίᾳ ἐμφέρεσθαι τιμὴ σαύρωσιν, καὶ τιμὴ τάφῳ, καὶ τιμὴ ἀνάστασιν χριστοῦ, ἐν τῇ ἐκκλησίᾳ τέτακται. ἔστι δὲ καὶ κατὰ τιμὴ κιβωτὸν τῆς διαθήκης κυρίου ἐν ᾗ λέγεται ἅγια ἁγίων καὶ ἁγίασμα αὐτοῦ· ἐν ᾗ παρέταξεν ὁ θεὸς γλυφὰς δύο χερουβὶμ ἑκατέρωθεν τοῦ νοῦ· τὸ γὰρ κίβ, ἐστὶ κιβωτὸς, τὸ δὲ ὤριον, φωτισμὸς κυρίου, ἢ φῶς θεοῦ. θυσιαστήριόν ἐστιν ἱλαστήριον, ἐν ᾧ παρεφέρετο πρὸ τῆς ἀμνοῦ τιμὰ καὶ τὸ ἅγιον μνῆμα τοῦ χριστοῦ, ἐν ᾧ θυσιαστηρίῳ καὶ θυσίαν ἑαυτὸν ὁ χριστὸς παρέστησε τῷ θεῷ καὶ πατρὶ, διὰ τῆς παρεσφορᾶς τοῦ σώματος αὐτοῦ, ὡς ἀμνὸς θυόμενος, καὶ ὡς ἀρχιερεὺς καὶ υἱὸς ἀνθρώπου, παρεσφέρων καὶ παρεσφερόμενος, εἰς μυστικὴν καὶ δυάμαχλον θυσίαν, καὶ λογικὴν λατρείαν τοῖς πιστοῖς ἱερουθυτούμενος. δι᾽ ἧς μέτοχοι γεγόναμεν τῆς αἰωνίου ζωῆς καὶ ἀθανάτου, ὃν τρόπον ἀμνὸν παρετύπωσεν ἐν Αἰγύπτῳ Μωσῆς παρὸς ἑαυτόν, καὶ τῷ αἵματι αὐτοῦ τὸν ὀλοθρευτὴν ἄγγελον ἀπέστρεψε, τοῦ μὴ θανατῶσαι τὸν λαόν· ὃ γὰρ παρὸς ἑαυτόν σημαίνει, ὅτι καὶ παρὸς ἑαυτὸν ἐσφαγιάσθη ὁ δηλητινὸς ἀμνὸς, ὁ τοῦ κόσμου αἴρων τὴν ἁμαρτίαν τῷ σταυρῷ αὐτοῦ χριστός· καὶ γὰρ ὁ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη χριστός. θυσιαστήριόν ἐστι καὶ λέγεται ἡ φάτνη καὶ ὁ τάφος τοῦ κυρίου. θυσιαστήριόν ἐστι καὶ λέγεται κατὰ τὸ ἐπουράνιον καὶ νοερὸν θυσιαστήριον, ἐν ᾧ καθ᾽ ἑκάστην τελοῦσι τὰς νοερὰς καὶ λειτουρ-

γικας ἱεραρχίας τῶν ἀύλων καὶ ἀύω διωάμεων, καὶ οἱ ὀπίγαοι καὶ ἔνυλοι ἱερεῖς πρεσβῦτεροι καὶ λατρεύοντες τῷ κυρίῳ ἀγαθότητος· ὥστε καὶ τοιούτοις δεῖ εἶναι, ὡς πῦρ φλέγον· καὶ γὰρ τῶν ἐπουρανίων ἀκολουθίαν, καὶ τῶν ὀπιγείων ἀγάπαξιν ὁ υἱὸς τοῦ θεοῦ καὶ κριτὴς τῶν ἀποστόλων ἐνομοθέτησε.

Βῆμά ἐστιν ὑπόβαθρος τόπος καὶ θρόνος, ἐν ᾧ ὁ παμβασιλεὺς χριστὸς προσκάθηται μετὰ τῶν αὐτοῦ ἀποστόλων, ὡς λέγει πρὸς αὐτοὺς, ὅτι καθήσεσθε ὅτι δώδεκα θρόνων κρίνοντες τὰς ιβ΄. φυλὰς τοῦ Ισραήλ. θρόνοι δὲ λέγονται τὸ κήρυγμα τῆς πίστεως, ἐν ᾧ κηρύγματι παρρησιαζόμενοι, ἐδίδαξαν, καὶ δι' αὐτοῦ λαμβάνοντι τὴν ἀπειλὴν τοῦ κηρύγματος, τὴν ἐπουράνιον βασιλείαν, ἐπεὶ καθέδρα ἐκεῖ οὐκ ἔστιν. ὑποδείκνυται δὲ καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν, καθ' ἣν ἐλθὼν ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς, ἀποδοὺς ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ, καὶ πάντα κόσμον κρῖναι, ὡς λέγει ὁ προφήτης, Οτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ὀπὶ οἶκον Δαβίδ.

κοσμήτης ἐστὶ κατὰ τὸ νομικὸν καὶ ἅγιον κόσμιον, ἐμφαῖνον τοῦ σταυρωθέντος χριστοῦ τὸ ἐκσφράγισμα, ἀπὸ τοῦ σταυροῦ κοσμούμενον.

κιόνια ἤτοι τὰ στήθεα τὰ διαχωρίζοντα τὸ βῆμα ἀπὸ τοῦ λοιποῦ ναοῦ, εἰσὶν οἱ δηλοῦσι τὸν μὲν ἔξωθεν τοῦ βήματος ναὸν, τὴν εἴσοδον καὶ προσάσιν τοῦ λαοῦ τοῦ εἰσερχομένου εἰς προσευχήν· τὸ δὲ ἔσωθεν ἤτοι τὸ βῆμα, δηλοῖ τὰ ἅγια τῶν ἁγίων, εἰς ὃ καὶ μόνοι οἱ ἱερεῖς καὶ οἱ μετ' αὐτῶν εἰσίασι.

κάγκελλά εἰσι, τὸ προσευχῆς τόπον δηλοῦντα, ἐν οἷς σημαίνει, τὸ μὲν ἔξωθεν τοῦ λαοῦ εἴσοδον, τὴν δὲ ἔσωθεν τὰ ἅγια τῶν ἁγίων ὑπερέχουσιν καὶ μόνοις τοῖς ἱερεῦσιν ἐστὶν ὀπίσω. ἔστι γὰρ ἀληθῶς εἰς τὸ ἅγιον μνῆμα κάγκελλα χαλκᾶ, ἀπὸ τὸ μηδένα εἰσιέναι ἐν αὐτῷ ἁπλῶς καὶ ὡς ἔτυχεν.

ὁ ἄμβων ἐστὶν ἐμφαίνων τὸ χῆμα τοῦ λίθου τοῦ ἁγίου μνήματος, ὃν ὁ ἄγγελος ἀποκυλίσας ἐκ τῆς θύρας τοῦ μνήματος, ἀνέβα τὴν ἀνάστασιν τοῦ κυρίου ταῖς μυροφόροις. ἔστι δὲ καὶ τὸν προφήτην τὸν λέγοντα, Επ' ὄρους πεδινοῦ ἄρατε σημεῖον· ἀνάβητι ὁ διαγγελίζομενος, καὶ ὑψωσον φωνὴν· ὄρος γὰρ ἐστὶν εἰς τόπον πεδινὸν καὶ ὁμαλὸν κείμενον.

τὸ κατὰ ἀνατολὰς βλέπεσθαι, πρὸς δεδομένον ἐστὶν, ὡς καὶ τὰ λοιπὰ, ἐκ τῶν ἁγίων ἀποστόλων, καὶ ἔστιν οὕτως, διὰ τὸν νοητὸν ἥλιον τῆς δικαιοσύνης χριστὸν τὸν θεὸν ἡμῶν ὀπὶ γῆς φανεῖσαι ἐν τοῖς μέρεσι τῆς ἀνατολῆς τοῦ αἰσθητοῦ ἡλίου, κατὰ τὸν προφήτην τὸν λέγοντα, Ανατολὴ ὄνομα αὐτῷ· καὶ πάλιν, Προσκυνήσατε τῷ κυρίῳ ᾧ ὀπεβεβήκοτι ὀπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς, καὶ προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· καὶ πάλιν, Στήσονται οἱ πόδες κυρίου ὀπὶ τὸ ὄρος κυρίου τὸ ἐλαιῶν κατὰ ἀνατολὰς· ταῦτά φασιν οἱ προφῆται, καὶ διὰ τὸ ἀποκαραδοκεῖν ἡμᾶς πάλιν τὸν ἐν ἐδέμ παράδεισον, κατὰ ἀνατολὰς ἀπολαμβάνειν, καὶ ὡς ἐκδεχομένους τὴν ἀνατολὴν τὴν φωτοφανείας τῆς δευτέρας τοῦ κυρίου παρουσίας καὶ παλιγγενεσίας.

Τὸ

ὃ μὴ κλίνειν γόνυ τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς ἁγίας κυριακῆς, σημαίνει τὴν τῆς καταπαύσεως ἡμῶν ἀνόρθωσιν γνωμένην, διὰ τῆς τεσσαρακοστῆς χριστοῦ ἀναστάσεως. ὃ δὲ μέχρι τῆς πεντηκοστῆς μὴ κλίνειν γόνυ, ἔστι τὰς ἑπτὰ ἡμέρας μετὰ τὸ ἅγιον πάσχα ἑπτὰ πλατυνόμενας κρατεῖν τὴν διανυστασίμῳ. ὃ ἑπτάκις ἑπτά, τεσσαρακονταεννέα, καὶ ἡ κυριακὴ πεντήκοντα.

ὃ ὀξύρρυσμα τῆς κεφαλῆς τοῦ ἱερέως, καὶ ὁ γυμνὸς αὐτοῦ τραχήλος ὃ μέσον τῶν τειχῶν, ἀντὶ τοῦ ἀκανθίνου στεφάνου, ὃν ὁ χριστὸς ἐφόρεσεν.

ὁ ἐν τῇ κεφαλῇ τοῦ ἱερέως τιθεμένος διπλοῦς στέφανος ἐκ τῆς τῶν τειχῶν σημειώσεως, εἰκονίζει τὸν τοῦ ἀποστόλου Πέτρου λαμπὶδα καίουσαν, ἐν ᾧ τοῦ κυρίου καὶ διδασκάλου κηρύγματι ἀποσταλεὶς, καὶ κρατεῖς ὑπὸ τῶν ἀπειθούντων τῷ λόγῳ, ὡς ἐμπαιζόμενος ὑπ' αὐτῶν, τοῦτον ὁ διδάσκαλος χριστὸς ὠλόγησε, καὶ ἐποίησε τὸν ἀτιμίαν λαμπὸν, καὶ τὸν χλεύασιν εἰς δόξαν. καὶ ἔθηκεν ὅπερ τὸ κεφαλῶν αὐτοῦ στέφανον, οὐκ ἐκ λίθων λαμπρῶν, ἀλλὰ τοῦ λίθου καὶ τῆς πέτρας τῆς πίστεως αὐτοῦ ἐκ λάμπουσαν, ὑπὲρ χρυσίον καὶ τοπάζιον καὶ λίθους λαμπρούς· κορυφὴ γὰρ κεκαλλωπισμένη, καὶ στέφανος, τὸ δωδεκαλίθου, οἱ ἀπόστολοί εἰσι· πέτρα δὲ ὁ πρωταγωνιστὴς ἀπόστολος ὑπὲρ καὶ ἀρχιεράρχης τοῦ χριστοῦ.

ἡ στολὴ τοῦ ἱερέως ὑπὲρ καὶ κατὰ τὸν ποδήρη Ἀαρὼν, τουτέστιν ἱμάτιον, ὅ ἐστιν ἱερατικὸν ἔνδυμα ὃ μέχρι τῶν ποδῶν ὃ λαμπρότατον· ἔστι δὲ πυρφόλης κατὰ τὸν προφήτην τὸν λέγοντα, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον· καὶ πάλιν, Τίς ἐστὶν ὁ προσερχόμενος ἐξ ἐδώμ· ἐδώμ γὰρ ἑρμηνεύεται χαῖνος, ἢ σκληρὸς, ἢ κόκκινος. εἶτα ἐπάγει, Ἐρύθημα ἱματίων αὐτοῦ, ἐξ ἀμπέλου Βοσόρ. διὰ τοῦ τοῦ ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματα σου· ὡς ἀπὸ πατητοῦ λίνου, ἐμφαίνοντος τὸν βαφὴν τοῦ χριστοῦ σταλεῖσαν τῆς σαρκὸς ἐν αἵμασιν, ἐν τῇ ἀχράντῳ αὐτοῦ σαρκί· πάλιν δὲ ὅτι τὸ κοκκίνου χλαμύδα ἐφόρεσεν ἐν ᾧ πάθει ὁ χριστὸς, ἐμφαίνουσιν οἱ ἀρχιερεῖς ποίου ἀρχιερέως εἰσὶν ὑπασπισταί.

ὃ δὲ ἀπεζωσμένους τοὺς ἱερεῖς θεωρεῖν φελωνίοις, δείκνυσιν ὅτι καὶ ὁ χριστὸς ἐν ᾧ σταυρῷ ἀθρόμενος οὕτως τὸν βασάζων τὸν σταυρὸν αὐτοῦ.

ἐν ταῖς ἄνω λαμπρότησι τῶν νοερῶν ὑπερανίων λειτουργῶν, θεωρητῶν καὶ ἱεραρχῶν, εἰσὶ θρεσβύτεροι εἴκοσι τέσσαρες, καὶ διάκονοι ἑπτά· οἱ μὲν θρεσβύτεροι κατὰ μίμησιν τῶν στεφανικῶν δυνάμεων εἰσὶ, ταῖς μὲν στολαῖς, δίκην πτερύγων κατακεκαλυμμένοι· ταῖς δὲ δυσὶ πτέρυξι τῶν χαλκέων τὸ ὕμνον βοῶντες, καὶ κατέχοντες τὸν θεῖον καὶ νοητὸν ἀνθρακα χριστὸν ἐν ᾧ θυσιαστηρίῳ, τῇ λαβίδι τῆς χαρᾶς φανερῶς φέροντες.

οἱ δὲ διάκονοι εἰς τύπον τῶν ἀγγελικῶν δυνάμεων ταῖς λεπταῖς τῶν λεπτῶν ὠρείων πτέρυξιν, ὡς λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀπεσταλμένα θεωρέχουσι. θεῶν μὲν τὸ σιχάριον λευκὸν ὂν, τῆς θεότητος τὸ ἀγγέλου

ἐμφαίνῃ, καὶ τοῦ ἱερέως τὴν λαμπραὶ πολιτείαν. Τὰ λωρία τοῦ στιχαρίου εἰσὶ τὰ ἐν τῇ χερσὶ, ἐμφαίνοντα τὸν δεσμὸν τοῦ Χριστοῦ· δήσαντες γὰρ αὐτὸν ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα καὶ τὸν Πιλάτον.

Τὰ λωρία τὰ εἰς τὰ πλάγια, εἰσὶ τὸ αἷμα τὸ ῥυὲν ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐν τῷ σταυρῷ. Τὸ περιτραχήλιον ἐστὶ τὸ φακεώλιον μεθ' οὗ ἐπεφέρετο ἐπὶ τοῦ ἀρχιερέως δεδεμένος, καὶ συρόμενος ὅτι τὸ πρόσθεν ὅτι τῷ τραχήλῳ ὁ Χριστὸς, ἐν τῷ πάθει αὐτοῦ ἀπῆρχόμενος.

Τὸ δὲ τοῦ ὅτι τραχηλίου δεξιὸν μέρος, πέφυκεν ὁ κάλαμος ὃν ἔδωκαν ἐμπαίζοντες τῇ δεξιᾷ τοῦ Χριστοῦ. Τὸ δὲ τοῦ ἐξ εὐωνύμου μέρους, ἡ τοῦ σταυροῦ βασανὴ ὅτι τῶν ὤμων αὐτοῦ, ἡ δὲ ζώνη, ἣν περιζώννυται, πέφυκεν ἡ εὐπρέπεια, ἣν ὁ Χριστὸς βασιλεύσας, εὐπρεπῆ περιεζώσατο δυνάμιν τῆς θεότητος. Τὸ δὲ φελώνιον, ἐμφαίνει τὴν ἀπὸ κοκκίνου πορφύραν, ἣν περὶ τὸν Ἰησοῦ ἐμπαίζοντες, οἱ ἀσεβεῖς ἐφόρεσαν· ἔστι δὲ καὶ ἡ στολὴ τοῦ βαπτίσματος. Τὸ ὠμοφόριόν ἐστι τοῦ ἀρχιερέως, καὶ τὴν στολὴν τοῦ Ἀαρὼν, ἣν περὶ ἐφόρουν οἱ ἐν νόμῳ ἀρχιερεῖς, Ἰουδαϊκοῖς μαχροῖς τὸν εὐώνυμον ὦμον περιθέντες, καὶ τὸν ζυγὸν τῶν ἐντολῶν τοῦ Χριστοῦ.

Τὸ δὲ ὠμοφόριον ὁ περιβέβληται ὁ ὅπισθεν, δηλοῖ τὴν τοῦ πρεσβάτου δορὰν, ὃν πρὸ πλανώμενον εὗρεν ὁ κύριος, ὅτι τῶν ὤμων αὐτοῦ ἀνέλαβε, καὶ στὴν τοῖς μὴ πεπλανημένοις ἠνέθμησεν. ἔχει δὲ καὶ σταυροὺς, ἀφ' οὗ καὶ τὸν Χριστὸν ὅτι τοῦ ὤμου βαστάσαι τὸν σταυρὸν αὐτοῦ. ἔτι δὲ καὶ οἱ θέλοντες καὶ Χριστὸν ζῆν ὅτι τῶν ὤμων αἴρουσι τὸν σταυρὸν αὐτοῦ, ὅ ἐστιν ἡ κακοπάθεια· σύμβολον γὰρ κακοπαθείας ὁ σταυρός. Τὸ μοναχικὸν σχῆμα ἐστὶ καὶ μίμησιν τοῦ ἐρημοπολίτου καὶ βαπτιστοῦ Ἰωάννου, ὅτι τὸ ἔνδυμα αὐτοῦ ἦν ἐκ τριχῶν καμήλου, καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφὺν αὐτοῦ.

Τὸ δὲ κείρεσθαι τὴν κόμην ὁλοτελῶς, καὶ μίμησιν τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ Παύλου τοῦ ἀποστόλου, καὶ τῶν λοιπῶν.

Τὰ δὲ ἀναβόλαια, εἰσὶ καὶ τὰ ἀναβόλαια, ἅπερ ἐφόρουν ἱμάτια.

Τὰ δὲ κουκούλλια, καὶ τὸν λέγοντα ἀπόστολον, ὅτι ἐσταύρωταί μοι ὁ κόσμος, κἀγὼ τῷ κόσμῳ. Τὸ δὲ μανδύον, ἐμφαῖνον ἀφ' τῆς ἀπολελυμένης ἀπλώσεως τὴν πτερωτικὴν τῆς τῶν ἀγγέλων μιμήσεως, καθότι ἀγγελικὸν σχῆμα λέγεται. ἡ δὲ ὀθόνη μεθ' ἧς λειτουργοῦσιν οἱ ἱερεῖς, δηλοῖ τὴν τοῦ Χριστοῦ ταπείνωσιν, ἣν ἐνεδείξατο ἐν τῷ νιπτῆρι. Τὸ δὲ ἐγχείριον τὸ ὅπισθεν τῆς ζώνης, ἐστὶ τὸ ἀπομάξαι τὰς χεῖρας αὐτοῦ λέντιον, καὶ πέφυκε τὸ ἐγχείριον ἔχειν ὅτι τῆς ζώνης, ἀντίτυπον τοῦ ἀπομάξαντος τὰς χεῖρας, ὡς τοῦ ἀληθῶς εἰμι ὅτι φωνήσαντος. ἡ τροχοειδὴς ἡ γλυμμένη ἐν τῷ σκευοφυλακίῳ, ἐμφαίνει τὸν κρανίου τόπον, ἐν ᾧ ἐσταυρώθη ὁ Χριστός. ἐν ᾧ λόγῳ, κεῖται τὸ κρανίον τοῦ προπάτορος Ἀδάμ. δείκνυσι δὲ, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον ὅπου ἐσταυρώθη. τρόπον δὲ ὁ τοῦ κρανίου τόπος οὗτος ἐν ᾧ Ἀβραάμ,

ὅτι

ὅτε ἐφ' ἑνὶ τῷ ὀρέων, τοῦ θεοῦ κελεύσαντος, τὸ θυσιαστήριον ἐκ λίθων ἐποίησε, καὶ ἔστιβασε ξύλα, καὶ ἔθηκε τὸν υἱὸν αὐτοῦ, καὶ ἀπήνεγκε κριὸν αὐτ' αὐτοῦ εἰς ὁλοκάρπωσιν· οὕτως ὁ θεὸς καὶ πατὴρ, ὁ ἀρχαῖος καὶ παλαιὸς τῶν ἡμερῶν, τὸν ἀρχαῖον υἱὸν αὐτοῦ ἐπ' ἐφάτων τῶν χρόνων, σαρκωθέντα ἐκ τῆς παρθένου καὶ θεοτόκου, ἐκ τῆς ὁσφύος Αβραὰμ κατ' ἐπαγγελίαν τοῦ ὅρκου ὃ ἔθηκε πρὸς αὐτὸν, ὥστε καὶ ἐπ' ἔθνεσι πολλοῖς, οὐκ ἐφείσατο τοῦ υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ καὶ μονογενοῦς, ἀλλ' ἐπ' ἡμῶν πάντων παρέδωκεν αὐτὸν· καὶ ἔπαθε μὲν ὡς ἄνθρωπος ἐν τῇ σαρκὶ, ἀλλ' ἔμεινεν ἀπαθὴς τῇ θεότητι· καὶ γὰρ ὁ χριστὸς ἀπ' ἀρχῆς ἐν ᾧ σταυρῷ αὐτοῦ, ἐβάσταζε τὸν σταυρὸν, καὶ ἀντὶ κριοῦ ἐτύθη τὸ σῶμα αὐτοῦ τὸ ἄμωμον, ὡς ἀμνὸς σφαττόμενος τῇ λόγχῃ τῶν πλευρῶν αὐτοῦ, καὶ ἀρχιερεὺς γενόμενος ὡς υἱὸς ἀνθρώπου, καὶ προσφέρων ἑαυτὸν, καὶ προσφερόμενος εἰς τὸ ἀνενέγκαι ἁμαρτωλοὺς πολλοὺς· καὶ τέθνηκε μὲν ὡς ἄνθρωπος, ἀνέστη δ' ὡς θεὸς, διὰ τὸ εἶχεν ἐπ' κόσμου δόξαν παρὰ τοῦ θεοῦ καὶ γενήσεται. ἡ δὲ προσκομιδὴ τοῦ ἄρτου, πέφανε τὸ σῶμα τοῦ κυρίου, τὸ παθὼν ἕνεκα τῶν σωτηρίαν ἡμῶν τῶν πιστῶν.

ὁ ἄρτος τῆς προθέσεως ὁ ἀποκαθηρεγμένος, ἐμφαίνει τὸν καθαρσιν τοῦ κόσμου, καὶ τὸν ἐπιβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ θεοῦ, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἄνθρωπος γέγονε, καὶ ἑαυτὸν προέθηκε θυσίαν καὶ προσφορὰν, καὶ τὸ σῶμα αὐτοῦ ἀντίλυτρον ἐξίλασμα ἐπὶ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας· ἀναλαβὼν μὲν τὸ φύραμα ὅλον τῆς ἀνθρωπίνης φύσεως χωρεῖς ἁμαρτίας· προσενεχθεὶς δὲ ὡς ἀπαρχὴ καὶ ἐξαίρετον ὁλοκάρπωμα, τῷ θεῷ καὶ πατρὶ ἐπ' τοῦ ἀνθρωπίνου γένους, ὡς λέγει, Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα· πρὸς ὃν φησὶ καὶ ὁ προφήτης Ἱερεμίας, Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, δηλονότι τὸ ξύλον τοῦ σταυροῦ, τὸ ἐν ᾧ σώματι ἐμπαγέν.

ἡ δὲ λόγχη, ἀντὶ τῆς κεντησάσης τὴν πλευρὰν τοῦ κυρίου.

τὸ ὑ ἐν τῇ λόγχῃ ἀποκαθαίρεσθαι, σημαίνει τὸ, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἄμνος.

ὁ ὑ δίσκος, ἡ κλίνη ἐστὶν, ἐν ᾗ τὸ σῶμα τοῦ κυρίου ἐπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου κατασκευάζεται, οἵ ἐνιοι εἰσὶν Ἰωσὴφ καὶ Νικόδημος.

ὁ ὑ οἶνος, πέφανε τὸ αἷμα τὸ ἐκ τῆς πλευρᾶς τοῦ χριστοῦ ῥοῦσαν. ἔστι ὑ καὶ ὁ μυστικὸς οἶνος, ὃν ἔδωκε τοῖς μαθηταῖς ἐν τῷ δείπνῳ.

τὸ ὑ ὕδωρ πέφανε τὸ ῥοῦσαν ἐκ τῆς πλευρᾶς αὐτοῦ τοῦ χριστοῦ, καὶ διὰ τὴν θερμότητα δηλοῖ τὴν ζέσιν τοῦ ἁγίου πνεύματος· τὴν δὲ λευκότητα, τὴν ἀκίβδηλον πίστιν.

ὁ οἶνος ὁμοῦ καὶ τὸ ὕδωρ, εἰσὶ τὸ ἐξελθὸν ἐκ τῆς πλευρᾶς αὐτοῦ αἷμα καὶ ὕδωρ, καθὼς ὁ προφήτης λέγει, Ἄρτος αὐτῷ δοθήσεται φαγεῖν, καὶ ὕδωρ αὐτῷ ποτὸν πιστόν· ἀντὶ γὰρ τῆς λόγχης τῆς κεντησάσης τὸν χριστὸν ἐν ᾧ σταυρῷ ἐπὸ Λογγίνου, ἐστὶν αὕτη ἡ λόγχη.

ὁ ἄρτος καὶ τὸ ποτήριον κυρίως καὶ ἀληθῶς, κατὰ μίμησιν τοῦ μυστικοῦ ἐκεί-

νου δείπνου, ἐν ᾧ ὁ χριστὸς ἔλαβεν ἄρτον καὶ οἶνον, καὶ εἶπε, Λάβετε, φάγετε καὶ πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμα, δηλονότι, ὅτι κοινωνοὺς ἡμᾶς ἐποίησε τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς δόξης αὐτοῦ.

ἡ δὲ προσφορά, ἡ καὶ ἄρτος καὶ εὐλογία καὶ ἀπαρχὴ λεγομένη, ἐξ ἧς τὸ κοινωνικὸν σῶμα ἀνατέμνεται, εἰς τύπον τῆς ἀφθάρτου καὶ θεοτόκου λαμβάνεται, ἥτις κατ' εὐδοκίαν τοῦ πατρὸς, καὶ θέλησιν τοῦ υἱοῦ αὐτοῦ καὶ λόγου, καὶ ἐπέλθοντος τοῦ θείου πνεύματος, τὸν ἕνα τῆς ἁγίας τριάδος, υἱὸν τοῦ θεοῦ καὶ λόγον, εἰς δεξαμένη, τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον ἀπεκύησεν. ὡσπερ δὲ πάλιν ὁ ἀπαθὴς θεὸς, σάρκα ἐκ ταύτης προσλαβόμενος ἐν μιᾷ ὑποστάσει, τέλειος ὢν θεὸς καὶ ἄνθρωπος, ὁμοιος ἡμῖν χωρὶς ἁμαρτίας· οὕτω καὶ τὸ κοινωνικὸν σῶμα ὡς ἐκ λίνου κοσκίνου καὶ σαρκὸς τοῦ πνευματικοῦ σώματος, τοῦ ὅλου ἄρτου φημὶ, τῆς εὐλογίας καὶ τῆς προσφορᾶς, πρὸς τοῦ ἀναστάντος, ὡς ἡ μεγάλη ἐκκλησία παρέλαβε, ἀνατέμνεται σιδήρῳ λίνῳ, ὅπερ καὶ λόγχην λέγουσιν, εἰ καὶ μήπω ταύτης ἐστὶν ὁ καιρὸς, καὶ ὅπως ἰδιοποιήσεως ἐκ μέσου ταύτης ἀφαιρῆται.

ὁ μέντοι ἀγάπνος ὁ τοῦ ἐνεργοῦν, ἑτοιμάσας σὺν αὐτῷ καὶ τὸ μέλλον ἐπιτελεῖσθαι δεσποτικὸν αἷμα, ἐν τῷ προσήκοντι τοῦ πάθους καιρῷ, ἀφ' τῆς τοῦ ζωοποιοῦ πνεύματος ἐπιφοιτήσεως, ἀφίησι ταῦτα ἐν τῇ προθέσει, τῷ εὐλογοῦντος τοῦ ἱερέως. αὖθις δὲ ὁ τὸ θεῖον σῶμα ἀνατέμνων ἀγάπνος, ἀπὸ τῆς εὐλογίας τ' ἄγγελον μιμεῖται, τὸν τῇ παρθένῳ τὸ χαῖρε προσφθεγξάμενον. εἰ δὲ καὶ ἱερεῖς τοῦτο τέμνουσιν, οὐ θαυμαστόν· πρὸς γὰρ τὰ ἔθη τῆς μεγάλης ἐκκλησίας ὁρᾶν χρή. οὕτω τοιγαροῦν ἀφίεται τὸ θεῖον σῶμα ἐν τῇ προθέσει, ὡσπερ ἐν Βηθλεέμ, ὅπου γεγέννηται ὁ χριστὸς, οὗ αἱ ἔξοδοι ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος· ὁμοῦ δὲ καὶ ὡς ἐν τῇ Ναζαρέτ. πρὸς δὲ, καὶ τῆς ἐν Καπερναούμ ἀναπειβῆς τὸν τόπον ἡ πρόθεσις ἐκπληροῖ· τοῦτο γὰρ ἕνεκεν ἐν προσοιμίοις προέφημεν, ὅτι τὸ ἓν τῶν νεῶν τυποῦμένων, ὅπερ δυσὶ καὶ τρισὶ τῶν τόπων τελεῖται καὶ ἀναφέρεται· καὶ ἁπλῶς εἰπεῖν, τὸν τελεσιουργεῖν χρόνον τὸν περὶ τοῦ βαπτίσματος καὶ τὰς ἀναπειβάς ἡ πρόθεσις ἐκπληροῖ. τὸ δὲ ποτήριον ἐστιν ἀντὶ τοῦ σκύφους, ὃ ἐδέξατο τὸ ἐκχυθὲν αἷμα τῆς κεντηθείσης ἀγκάλης πλευρᾶς, καὶ χεῖρας καὶ ποδῶν τοῦ χριστοῦ τὸ ἀπομύρισμα. ὁ δὲ κρατὴρ, τὸ ῥύσιον ποτήριον, ὅπερ δέδωκε τοῖς μαθηταῖς αὐτοῦ ἐν τῷ δείπνῳ.

ποτήριον δὲ πάλιν ἐστὶ καὶ τὸν κρατῆρα, ὃν γράφει κυρίως· ἤτοι ἡ σοφία καὶ ὁ υἱὸς τοῦ θεοῦ, ἐκέρασε τὸ ἑαυτοῦ αἷμα, ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προσέθηκεν ἐν τῇ ἁγίᾳ αὐτοῦ τραπέζῃ, λέγων τοῖς πᾶσι, Πίετε ἐξ αὐτοῦ πάντες, ἀντὶ τοῦ οἴνου τοῦ κεκερασμένου εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

κρατῆρες ἑρμηνεύονται καὶ οἱ μαζοὶ τῆς θεοτόκου, ῥύσιον εὐφροσύνης ποτήριον, καὶ φυλακτήριον πάντων τῶν λαῶν βεβαιοῦν.

Τὸ δὲ σκυφοφυλάκιον ὅπου ἡ προσκομιδὴ ἐπιτελῆται, ἀντὶ τοῦ κρανίου τόπου ἐστί. Τὸ εἰλητὸν, σημαίνει τὴν σινδόνα, ἐν ᾗ ἐνειλήθη τὸ σῶμα τοῦ Χριστοῦ, ἐκ τοῦ σταυροῦ καταβαὶ καὶ ἐν μνήματι τεθέν. καὶ ἡ ἐπιμάνα κάλυψις τοῦ δίσκου, ἐμφαίνει τὴν σινδόνα, ᾗ εἴλιξαν τὸ σῶμα τοῦ κυρίου.

Τὸ δὲ δυσκοκάλυμμα ἐστὶν, ἀντὶ τοῦ Ἰουδαϊκοῦ τοῦ ὄντος ἐπὶ τοῦ προσώπου προκαλύπτοντος αὐτὸ ἐν τῷ τάφῳ. Τὸ καταπέτασμα ἤτοι ὁ ἀὴρ, ἐστὶ καὶ λέγεται ἀντὶ τοῦ λίθου τοῦ ἀσφαλίσατο τὸ μνημεῖον ὁ Ἰωσήφ, ὅπερ ἐσφράγισεν ἡ πλάξ τῆς κυριακῆς. Ἰδοὺ ἐσταύρωται ὁ Χριστὸς, τέθαπται ἡ ζωὴ, ἀσφαλίζεται ὁ τάφος. καὶ αὐθέως ὁ θυμιατὴρ προσδηλοῖ τὴν ἀνθεκτότητα τοῦ Χριστοῦ· τὸ πῦρ, τὴν θεότητα, καὶ ὁ εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου πνεύματος προπορευομένου· ὁ γὰρ θυμιατὴρ, ἐρμηνεύεται εὐωδεστάτη εὐφροσύνη. Τὸ δὲ θυμίαμα πέφυκεν, ἀντὶ τῶν ἀρωμάτων, ἃ προσέφερον εἰς τὸν ἐνταφιασμὸν τοῦ κυρίου· καὶ ἡ σμύρνα, καὶ ὁ λίβανος τῶν μάγων, ἡ καθαρὰ προσευχὴ τῶν ἀγαθῶν ἔργων, ἐξ ὧν ἡ εὐωδία ἔρχεται, καθὼς φησιν ὁ Ἀπόστολος, Χριστοῦ εὐωδία ἐσμέν.

γνῶτε οὖν πάντες οἱ ἱερεῖς, οἱ τῷ ἁγίῳ θυσιαστηρίῳ προσεδρεύοντες, καὶ τὴν ἀναίμακτον θυσίαν ἱερουργοῦντες, ὅτι τὰ ζωηφόρα πάθη Χριστοῦ καταγγέλλομεν.

διδαχὴ τίνων καὶ ἐξ τῶν ἀρχιερέως τῶν ἱερέων τῶν μηνύοντι ἀρχεῖα τῆς θείας μυσταγωγίας. οὗτος δὲ ὁ καιρὸς ἡμᾶς τὸν τῶν τοῦ προφήτου Ἡσαΐου προαναφωνηθέντα καιρὸν, τῆς τοῦ προδρόμου Ἰωάννου γεννήσεως, καὶ τῆς Χριστοῦ πρὸς ἡμᾶς ἐπιδημίας.

ὁ δὲ γε ἱερεὺς ὁ τὴν ἔναρξιν τῆς θείας λειτουργίας ποιούμενος, εἰκόνα φέρει τοῦ προδρόμου Ἰωάννου καὶ βαπτιστοῦ προκαταρξαμένου τοῦ κηρύγματος, καὶ λέγοντος, Μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βαπτίζοντος πάντας τοὺς προσερχομένους. οἱ διάκονοί εἰσιν οἱ ποιμένες.

οἱ ἱερεῖς εἰσὶν οἱ ἄγγελοι. ὁ Διάκονος· Εὐλόγησον δέσποτα. ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

οὕτω τὴν προφέρει ἔκφρασιν τῶν πρὸς τὸν θεὸν εὐχαριστιῶν ἡ δοξολογία· διὰ τοῦτο πρὸς πάσης εὐχῆς καὶ ἱερολογίας, ὁ ἱερεὺς δοξολογεῖ τὸν θεόν. Εἰ οὖν τὸ τελεστὸν ἐπιφημίζει τοῦ θεοῦ, καὶ οὐ τὸ ἐνιαῦτον· οὐ γὰρ εὐλογητὸς ὁ θεὸς, ἡ εὐλογημένη ἡ τοῦ θεοῦ βασιλεία, ἀλλὰ τοῖς προσώποις διηρημένως, Εὐλογημένη ἡ βασιλεία φησὶ, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ὅτι διὰ τῆς ἀναθεωρήσεως τοῦ κυρίου προέτης, ἔμαθον οἱ ἀνθρωποι, ὡς εἴη τρία πρόσωπα ὁ θεός. Ταύτης δὲ τῆς ἀναθεωρήσεως τοῦ κυρίου, μυσταγωγία ἐστὶ τὰ τελούμενα· ὅθεν ἐν τοῖς προοιμίοις αὐτῶν, ἔδει προλάμπειν καὶ κηρύττεσθαι τὴν τριάδα· καὶ ἀπὸ τῶν ἄνω δυνάμεων δοξάζεται ὁ θεὸς τρισὶν ἁγιασμοῖς, καὶ ἀπὸ ἀνθρώπων ἡ βασιλεία τοῦ Χριστοῦ εὐλογεῖται, ὃς δυνάμει θεότητος ἀυτοῦ τοῦ ἀδύνου ἐσκύλευσε, καὶ ἡμᾶς ἠλευ-

θέρωσε. Ὃ δὲ ἀμήν, ἀληθῶς, ἢ γένοιτο. διὰ τί ὅ, εἰς αἰῶνας τῶν αἰώνων, τὸν κάπνὸν τῆς πόλεως Βαβυλῶνος ἀναβαίνειν δηλοῦται, ὅτι ὅ αἷμα τῶν δούλων αὐτῶν ἐκ τῆς χειρὸς Βαβυλῶνος ἐξεζήτησε, καὶ τοὺς αὐτῆς οἰκήτορας διὰ κολάσεως ὑπηρέτησεν, ἐκ κοπὴν τῆς ἁμαρτίας ἐργασάμενος.

ὁ διάκονος. Εν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. μετὰ τῆς δοξολογίαν, τὴν αἴτησιν λέγει· ὅ γὰρ εἰ τοσοῦτον ἐξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν· καὶ ἵνα μὴ βαττολογῶμεν διδάσκει ἡμᾶς, ἃ δεῖ τοῦ εἰρηνεύειν, ὅτι ἐν εἰρήνῃ εὐχεσθαι δεῖ· οὔτε ἐξομολογησάμενοι τοσοῦτον, ὅτε εὐχαριστήσωμεν τῷ θεῷ, ὅτι ἐν τῷ εἰπεῖν τὴν εἰρήνην, καὶ κεῖνα τοσοῦτον ἔλαβεν, εἰ μὴ ἀκριβῶς ἐθέλει σκοπεῖν· νῦν διδάσκει, τοσοῦτον δεῖ αἰτεῖσθαι τὴν ἄνωθεν εἰρήνην καὶ τὴν τῶν ψυχῶν σωτηρίαν· ὅτε γὰρ ὁ χριστὸς ἐκέλευσεν αἰτεῖσθαι· μετὰ πρέμου νοὸς τὰς εὐχὰς ἡμῶν ἀποδῶμεν. Τῆς πανωλίας, ἀγεραίτου, καὶ τὰ ἑξῆς. Τὰς τοσαύτας πάντων τῶν ἁγίων μνηθέντες, ἕτερος τὸν ἕτερον, καὶ τὴν ζωὴν ἡμῶν ἅπασαν, σὺν τοῖς καλοῖς ἡμῶν ἔργοις τῷ θεῷ παραδώσωμεν.

τὰ ἀντίφωνά εἰσι, τῶν τοσοφητῶν αἱ τοσορρήσεις, τοσοκαταγλήγουσαι τὴν προσοίσιν τοῦ γένους τοῦ θεοῦ τὴν ἐκ παρθένου ὑπὲρ γῆς, καὶ βοῶσαι, Ο θεὸς ἡμῶν ὑπὲρ τῆς γῆς ὤφθη, καὶ συναναστρέφεται ἐνεδύσατο, ἤγουν τὴν σάρκωσιν αὐτῶν δηλοῦσαι, ἵνα ἡμεῖς ἐποδεξάμενοι καὶ μαθόντες διὰ τῶν ὑπηρετῶν καὶ αὐτόπτων τοῦ λόγου γενομένων τῶν ἀποστόλων, λέγομεν.

χρὴ δὲ εἰδέναι, ὅτι ἐν ἀρχῇ πάσης τελετῆς ὀρθρινῆς τε καὶ λυχνικῆς, τοσοῦτον τῆς παλαιᾶς ᾄδονται οἱ ψαλμοί, εἶτα τὰ τῆς νέας χάριτος ἄσματα, ὡς τοροφητεύσαν μνήμης τῆς παλαιᾶς διαθήκης, ἧς νομοθέτης ἐστὶ ὁ γενηθεὶς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐχρηματίσεν, ἵν' ἔχωσιν εἰδέναι πάντες, ὡς εἷς καὶ ὁ αὐτὸς θεός, καὶ δεσπότης, ὁ ταῦτα κἀκεῖνα νομοθετήσας χριστός.

Αντίφωνον α. Αγαθὸν ὁ ἐξομολογεῖσθαι τῷ κυρίῳ. τὰ κατὰ τὴν καρδίαν ἡμῶν ἔργα, διηγήσασθαι τῷ κυρίῳ ἀγαθόν ἐστι.

Καὶ ψάλλειν τῷ ὀνόματι αὐτοῦ ὕψιστε. ἐν μέλει εἰπεῖν, οὐς σοι τοσοφέρομεν, ὕμνους δεῖ. Τοῦ αἰαγγέλλειν τοσοῦ τὸ ἔλεός σου, καὶ τὴν ἀληθείαν σου κατὰ νύκτα· τοῦ διηγήσασθαι φανερῶς, ὅ, πῶς ἠλεήθημεν, καὶ κατὰ πάσης ἁμαρτίας τοσοφέρειν τὴν ἀληθείαν τῶν τοσαγμάτων σου.

Οτι εὐθὺς κύριος ὁ θεὸς ἡμῶν. ὅτι ἀληθὴς κύριος ὁ θεὸς ἡμῶν.

Καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. καὶ οὐδὲν ψευδὲς τοῦ τῷ θεῷ.

Ετι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ κυρίου δεηθῶμεν. ἀκμὴν καὶ ἀκμὴν μετὰ πρέμου νοὸς τοῦ κυρίου δεηθῶμεν. Εκφώνησις.

Οτι σὸν ὁ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. ὅτι σοῦ ἐστιν ἡ κυρία καὶ ἡ βασιλεία πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων, καὶ διὰ τοῦτο ἡμεῖς οἱ ὑπὲρ γῆς τὴν εὐχαριστίαν ἀ-

πάντες

πάντες καὶ δόξαν ἀδιαλείπτως σὺν ἀναπέμπομεν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν ἔστιν ἀληθῶς, ἢ γένοιτο. Ἀντίφωνον β'.

Ο κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ὁ κύριος ἐβασίλευσεν ἐπὶ τοὺς οὐρανοὺς, καὶ τὸν πιστὸν λαὸν ἐλεοποίησατο διὰ τοῦ ἰδίου αἵματος αὐτοῦ, καὶ ἐξῆλθεν εἰς πόλεμον κατὰ τοῦ διαβόλου.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἣ τις οὐ σαλευθήσεται. ἐστερέωσε τὴν οἰκουμένην τὴν ἐκκλησίαν ἐν τῇ πίστει αὐτοῦ, καὶ πύλαι ἅδου οὐ κατισχύσασιν αὐτῆς. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε. Τὰ παθήματά σου ἐπιστεύθησαν εἰς ὃν κόσμον· τῷ λαῷ σου πρέπει ἡ χάρις σου εἰς τοὺς ἀτελευτήτους αἰῶνας.

Σωτέρια δὲ τῷ τέλει τοῦ πρώτου ἀντιφώνου, Τὸ, Ταῖς πρεσβείαις τῆς θεοτόκου σῶσον ἡμᾶς. Εἴνος χάριν ἡ πάντως βεβαιοῦται τὰ πρότερον εἰρηνικά, περὶ τοῦ τόπου τῆς ἀφθαρσίας, ὡς τῆς αὐτῆς αὐτὴ προηγεῖται δικαιοσύνης, καὶ ἀληθοῦς οἰκονομίας. τοῦ δευτέρου δὲ τὸ ἐφύμνιον, Ταῖς πρεσβείαις τῶν ἁγίων σου· ἐπεὶ γὰρ ὑπὲρ σωτηρίας ψυχῶν καὶ συγχωρήσεως πλημμάτων τὴν θείαν τελοῦμεν μυσταγωγίαν, εἰκότως, ὡς ὑπέρταν οὖσαν τὴν θεομήτορα πάντων τῶν ἁγίων, ἢ καὶ αὐτῶν τῶν ἐπουρανίων δυνάμεων, εἰς ἱκεσίαν προκαλούμεθα· εἶτα τοὺς διαφεσπόσαν τὰς ὑπὲρ ταύτης ὑμῶν.

Τὸ δὲ Εὐπάριον, ὃ κατὰ τὸ τέλος τοῦ δευτέρου ἀντιφώνου λέγεται, Τὸ, Ο μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, καὶ τὰ ἑξῆς, ποίημά ἐστιν Ἰωσὴφ καὶ Νικοδήμου· ἀπαίροντες γὰρ τὸν κύριον πρὸς τὸ ἐνταφιάσαι αὐτὸν, ἐμνήσθησαν αὐτοῦ, ἀπὸ τοῦ ἡμίου καὶ ζωοποιοῦ σώματος τοῦ κυρίου, καὶ τῆς ἐν αὐτῷ ἀχωρίστου θεότητος. ἔνιοι δὲ λέγουσιν, ὅτι τὸ αὐτὸ Εὐπάριον ἐκπεφώνηται, πρὸς τοῦ τῆς θείας λήξεως βασιλέως Ἰουστινιανοῦ, σφόδρα καὶ αὐτὸ τοῖς συμβόλοις τῆς χριστοῦ γνώσεως ἐφαρμόζον· οὗτος γὰρ φησιν, ὁ γνωνθεὶς, ὁ μονογενὴς υἱὸς καὶ λόγος προαιώνιος παρὼν ὑπάρχων, καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου, ἀτρέπτου μεινάσης τῆς θεότητος καὶ ἀσυγχύτου, εἰς ὑπὲρ τῆς ἁγίας τριάδος, ἐνανθρωπήσας καὶ σταυρωθῆναι καταδεξάμενος, ὁ καὶ ἐν τριαγίῳ ὕμνῳ σὺν δοξαζόμενος ὑπὸ τῶν νοερῶν καὶ οὐρανίων δυνάμεων· ἀνεκφοιτήτως γὰρ καὶ ἀχωρίστως τῶν πατρικῶν κόλπων καταβαίνει σαρκωθῆναι. αὐτὸς οὖν ἐστὶν ὁ σώζων ἡμᾶς. ὁ διάκονος. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. ὁ ἱερεὺς ἐκφώνως.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σὺν τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν. ἀγαθὸς θεὸς λέγομεν καὶ φιλάνθρωπος εἶ, ὅτι τὸν υἱόν σου εἰς τὸν κόσμον ἐξαπέστειλας· διὰ τοῦτο τὴν δόξαν καὶ εὐχαριστίαν σοι ἀναπέμπομεν, ὅ ἐστι προσάγομεν, νῦν καὶ πάντοτε εἰς τοὺς αἰῶνας. Ἀντίφωνον γ'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ. δεῦτε ἐμπλησθῶμεν πάσης χαρᾶς

ὀν κυρίῳ. Αλαλάξωμεν τῷ θεῷ τῷ σωτῆρι ἡμῶν. δεηθῶμεν μετὰ δακρύων τῷ θεῷ ἡμῶν Ιησοῦ. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀγαλλάξωμεν αὐτῷ. καὶ πρὸς τῆς προσευχὰς αὐτοῦ δεηθῶμεν αὐτῷ, καὶ ψάλλοντες ἱκετεύσωμεν αὐτόν.

Οτι θεὸς μέγας κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. μέγας θεὸς ἐστιν Ιησοῦς χριστὸς, καθὼς ὁ ἀπόστολος λέγει, ἐν ᾧ εἰπεῖν, Τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ιησοῦ χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, καὶ ἐπὶ πολὺ τὰ ἔθνη ἐβασίλευσε, καὶ βασιλεύσει διὰ τῆς πίστεως αὐτοῦ, ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ. Οτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ. ὁ πιστὸς λαὸς δηλονότι καὶ οἱ λοιποὶ τῶν πιστῶν. Οτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν. ὅτι αὐτοῦ ἐστὶ πολὺ τὸ πλῆθος τῶν ἀνθρώπων, καὶ αὐτὸς τὸ πρότερον ἐδημιούργησεν αὐτοὺς, καὶ πάλιν ἐν ᾧ βαπτίσματι αὐτοῦ ἀνεκαίνισεν αὐτούς.

Καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. καὶ τὴν καρδίαν πολλῶν τῶν ἀνθρώπων ἔκλισε τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ, ἐν ᾧ λουτρῷ τῆς ἀφθαρσίας. ἡ εἴσοδος τοῦ εὐαγγελίου, ἐμφαίνει τὴν προσευχὴν τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ τὴν εἴσοδον τὴν εἰς τὸν κόσμον τοῦτον, ὡς λέγει ὁ ἀπόστολος. Οταν εἰσαγάγῃ, ἤγουν ὁ θεὸς καὶ πατὴρ, τὸν πρωτότοκον τὸν μονογενῆ αὐτοῦ, εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι αὐτοῦ.

ἔπειτα δεικνύει τὸν τοῦ ἀρχιερέως, διὰ τῆς στολῆς αὐτοῦ, τὴν τῆς χρυσοῦ τοῦ χριστοῦ στολὴν, τὴν ἐρυθρὰν καὶ αἱματώδη ἣν ἐφόρεσεν ὁ ἄνθρωπος καὶ θεὸς, ὡς πορφύραν βαφεῖσαν ἐξ αἱμάτων αἱμῆ τῆς θεοτόκου, ἣ ἀνέλαβε τὸ πλατὺν πρόσωπον ἐπὶ τὸν ὦμον αὐτοῦ, τὸ ἀρχαῖον κώδιον τοῦ ἀδαμαίου φυράματος, ὁ ποιμὴν ὁ καλὸς, ὁ ποιμαίνων τὸν Ισραὴλ ἐν τῇ ῥάβδῳ αὐτοῦ σταυροῦ αὐτοῦ· ἐν σπαργανοῖς μὲν εἰληθεὶς καὶ τεθεὶς, οὐκ ἐν φάτνῃ μὲν τῶν ἀλόγων, ἀλλ' ἐν τραπέζῃ λογικῇ ἀνθρώπων, ὃν ἐν τῇ γυνῇ αὐτοῦ ὑμνήσαν ἀγγέλων χραταιὰ, λέγουσαν· Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· καὶ πᾶσα ἡ γῆ προσκυνησάτωσαν σοι, καὶ ψαλλάτωσαν σοι. καὶ πάντων καθυπακουόντων, λέγει·

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, σῶσον ἡμᾶς υἱὲ θεοῦ. πρόσωπον αὐτῷ κλίνωμεν γόνυ, ὡς ὑπόδικοι ὄντες, καὶ τὸ τε συγχώρησιν αὐτῷ αἰτήσωμεν, ὧν ὀφείλομεν αὐτῷ· καὶ κηρύττωμεν αὐτοῦ τὴν προσευχὴν, φανερωθεῖσαν ἡμῖν ἐν χαίρειν τοῦ κυρίου ἡμῶν Ιησοῦ χριστοῦ.

Αλλως περὶ τῆς εἰσόδου.

Δοκῶ μὲν γὰρ τὸ ἐπὶ τοῦ Ιορδανοῦ ἀνάδειξιν καὶ φανέρωσιν τοῦ χριστοῦ τοῦ θεοῦ ἡμῶν, τὴν τοῦ ἀρχιερέως εἴσοδον ὑπαινίττεσθαι· μέρος γὰρ ταύτης, εἰ καὶ μόνος ὁ ἀρχιερεὺς, ἀλλ' οὐχὶ πᾶσι δῆλος καὶ γνώριμος, οὐδὲ εἰς μέσον ἐκτὸς, καὶ τὰ ἀπόρρητα καὶ ἀγιάσματα τελῶν· ἀλλ' ὁ τὸν κρείττονα λαβὼν ἱερεὺς, ὡς

προδρομος σωτηρία, διὰ μετανοίας βάπτισμα· ὃς εἰσελθόντα ἰδὼν τὸν ἀρχιερέα, μεθίστατο, μονονουχὶ τοῦτ' ἐκεῖνο ῥήμα πρὸς ἑαυτὸν διαλογιζόμενος, ὅπερ ἔφησε καὶ ὁ Ἰωάννης, Τοῦτον δεῖ αὐξάνεσθαι, ἐμὲ δὲ ἐλαττοῦσθαι. καὶ οὐδὲν τοῦδε χωρὶς τοῦ ἀρχιερέως τὰ μείζονα τελεσιουργεῖν· ὃς καὶ λέγει.

Ὅτι ἅγιος εἶ ὁ θεὸς ἡμῶν. ὁ τρισάγιος ὕμνος, ἔστι μὲν οὕτως, ὡς ἐκεῖνοι μὲν οἱ ἀνθρωποειδῶν· Ὡς ἐμεγαλυνθη τὰ ἔργα σου κύριε, καὶ δόξα σοι ὑψίστοις θεῷ· σὺν τούτοις δὲ ὡς οἱ μάγοι τὰ δῶρα προσφέροντες τοῦ χριστοῦ, πίστιν, ἐλπίδα καὶ ἀγάπην, ὡς χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῶν ἀσωμάτων σῶματα βοῶντες πιστῶς καὶ λέγοντες. Ἅγιος ὁ θεός· ὁ θεός, ἤτοι ὁ πατήρ. Ἅγιος ἰσχυρός, ὁ υἱὸς καὶ λόγος· διότι τὸν καθ' ἡμῶν ἰσχυρὸν διάβολον δεσμεύσας, κατήργησε διὰ τοῦ σταυροῦ, τὸ κράτος ἔχοντα τοῦ θανάτου, καὶ τοῦ ζωοῦ καὶ τοῦ ἰσχυροῦ τοῦ ἐξουσίαν ἡμῖν ἔδωκε τοῦ πατεῖν ἐπάνω αὐτοῦ.

Ἅγιος ἀθάνατος, τὸ πνεῦμα τὸ ἅγιον, τὸ ζωοποιόν, δι' οὗ πᾶσα ἡ κτίσις ζωοποιεῖται, καὶ διαλυθεῖσα, καὶ βοᾷ λέγουσα, Ἐλέησον ἡμᾶς.

ὁ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον τῆς ἀληθείας, ὁ τοῦ θυσιαστηρίου τελεσιουργῶν, καὶ ἀεὶ ἐπιφοιτῶν τοῖς τέκνοις τῆς ἐκκλησίας, καὶ ἐλεῶν καὶ ἀθανατοῖ διὰ τοῦ βαπτίσματος. Ἄλλως. Ἅγιος ὁ θεός, ἤτοι ὁ πατήρ, ὁ ὢν καὶ ἦν· καὶ ἐρχόμενος· ὁ χρηματίσας πάλαι τῷ Μωϋσῇ λέγων· Ἐγώ εἰμι ὁ ὤν, ὁ θελήσας τὸν μόχθον θῦσαι δι' ὑμᾶς. Ἅγιος ἰσχυρός, ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ μόχθος ὁ ἀεὶ θυόμενος ἐκών, καὶ ἀεὶ ζῶν. διὰ δὲ τὸ, Ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν, δι' οὗ τὰ πάντα ἐγένετο, ἅμα καὶ ὁ μόχθος ὁ ἀεὶ θυόμενος ἐκών, καὶ ἀεὶ ζῶν καὶ διαμένων, τὸ ἀθάνατον συμμίγνυ, τοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων, τοῦ τε ἀρχοῦ καὶ τὰ μέσα καὶ τὰ τελευταῖα. Ἄλλως.

Ἅγιος ἰσχυρός, ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ· ἰσχυρὸς μὲν, ὡς ἰσχὺς θεοῦ, σοφία καὶ δύναμις, κατὰ τὸν λέγοντα ἀπόστολον, Ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ, ἰσχυρὸς καὶ δυνατὸς, καὶ ζῶν, ἐνεργής τε καὶ τομώτερος μαχαίρας δικόμου, καὶ τὰ ἑξῆς.

Ἅγιος ἀθάνατος, συμμίγνυ, τοῦ περιέχοντος ἐν ἑαυτῷ, πάντων τῶν ὄντων τοῦ τε ἀρχοῦ καὶ τὸ τέλος. λέγεται δὲ ἐκ τείπου τὸ τρισάγιον, ἐπεὶ ἁρμόττει καὶ ἐφ' ἑνὶ ἑκάστῳ τῶν τριῶν προσώπων τῆς μιᾶς θεότητος, τὰ τρία ταῦτα ἅγια· ἕκαστον γὰρ τούτων, καὶ ἅγιός ἐστι, καὶ ἰσχυρὸς, καὶ ἀθάνατος· φύσις μὲν γὰρ καὶ οὐσία τοῖς τρισὶ μία. ὄνομα δὲ κοινὸν ἐν ἡ θεότης, εἰ καὶ ἕκαστον τῶν τριῶν προσώπων θεὸς ὀνομάζεται τέλεος. ἐν τούτοις δὲ τοῖς βραχέσι ῥήμασι καλῶς νοεῖται καὶ τὸ παρὰ τοῦ μεγάλου θεολόγου οὕτω πως εἰρημένον· Διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπω, καὶ συνάπτεται διηρημένως. καὶ ἀνάχορος ὁ αὐτός· Οὐ φθάνω τὸ ἓν συνοῶσα καὶ τοῖς τρισὶ περιλάμπομαι· οὐ φθάνω τὰ τρία διελεῖν, εἰς τὸ ἓν ἀναφερόμενα. ἀλλὰ μὴ τις τὰς μαρτυρίας ταύτας τοῦ τρισαγίου ἀκούων, νομίσῃ τὸν τρισάγιον τοῦ ἀρχοῦ λα-

ϛν, ἀπὸ τῆς τοῦ χρεισοῦ καὶ θεοῦ ἡμῶν σωτηρίας θεοπνεύστου· πάλαι γὰρ ὑπὸ τῶν θεηγόρων προφητῶν, μυστικῶς τῷ πνεύματι προαναπεφωνημένος ἦν.

τοῦτον γὰρ τὸν τύπον καὶ τὰς ῥήσεις ἱστορεῖ ὁ Δαβὶδ, διὰ βραχυλογίας τοῦτον παρείσησιν, Εἰδίψησε λέγων, ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα. καὶ ἄλλαχοῦ, Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δυνάμις αὐτῶν. καὶ ἑτέρωθεν, Εν τῷ φωτὶ σου ὀψόμεθα φῶς. ὁ δὴ ὑπὸ Ησαΐου σκφωνηθεὶς σεραφικὸς ὕμνος, καὶ τὰ τεία ἄγια εἰς μίαν κυριότητα συνάγων καὶ θεότητα, ἵνα ἀφαφορὰν φέρῃ τοῦ πρὸ ἡμῶν ἀδομένου τρισαγίου. ὃ δὲ ἀνελθὼν ἐν τῷ συνθρόνῳ τοῦ ἀρχιερέα, καὶ σφραγίσας τὸν λαὸν, ὅτι ὁ υἱὸς τοῦ θεοῦ μηνῶν πληρωθέντων τὴν σαρκὴ ἡμῶν οἰκονομίαν, ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησε τοὺς ἁγίους αὐτοῦ μαθητὰς, λέγων αὐτοῖς, Εἰρήνην ἀφίημι ὑμῖν, δεικνύων ὅτι τὴν αὐτὴν εἰρήνην καὶ εὐλογίαν δέδωκε τῷ κόσμῳ ὁ χρεισὸς διὰ τῶν ἀποστόλων αὐτοῦ.

Αλλως. Η σφραγὶς, ἣν ὁ ἀρχιερεὺς εἴωθε ποιεῖν ἐν τῷ τέλει τοῦ τρισαγίου, εἰς πλήρωσιν μυστικὴν οἱονεὶ σκιαγράφημα τῶν τοῦ χρεισοῦ προηγουμένων προφητικῶν χαρακτηρίζεται· ἡ γὰρ αὐτοῦ διὰ σαρκὸς προνοία, σφραγὶς ἐκλήθη, ὑπικνεῦσα τὰ ὑπὸ ἐκείνων προηγουμένα ὡς δηλῆ. αὐτὴ δὲ καὶ εἰς ἀρχὴν τῶν θεοπρεπῶν ἔργων, καὶ τῆς τοῦ ἀνθρώπου γένους ἀναπλάσεως τέτακται· Τάξις γὰρ φησιν ὁ θεολόγος Γρηγόριος, ἀείσι σκ θεοῦ τε ἀρχεῖαι, καὶ εἰς θεὸν ἀναπαύεται. ἀρχιερεὺς, ὁ κύριος· θρόνος, ἡ πρὸ θρόνου. ὃ δὴ καθίσας ὅστιν, ὅτι ὁ υἱὸς τὴν ἑαυτοῦ σαρκὰ ἐν ἐφόρεσε, καὶ τὸ προσβαστὸν ὁ ἀνέλαβεν ὑπὲρ τῶν ὤμων, ὅπερ σημαίνει τὸ ὠμοφόριον, ὅ ἐστι τὸ ἀδαμιαῖον φύραμα, ἀνεβίβασεν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος τῶν ἄνω δυνάμεων, καὶ προσήγαγεν αὐτὸ τῷ θεῷ καὶ πατρί· ὅπερ γὰρ ὁ μὴν ἐθέωσεν, ὁ δὲ ἐθεώθη, τουτέστι τὸ προσλημμα, ὃ διὰ τὴν ἀξίαν τοῦ προσενεχθέντος, καὶ τὴν καθαρότητα τοῦ προσενεχθέντος, ἐδέξατο αὐτὸς ὁ θεὸς καὶ πατὴρ, ὡς θυσίαν καὶ προσφορὰν εὐάρεστον ὑπὲρ τοῦ ἀνθρωπίνου γένους· πρὸς ὃν εἶπεν ὁ Δαβὶδ, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου· ἤτοι ὁ πατὴρ τῷ υἱῷ, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης αὐτοῦ ἐν ὑψηλοῖς. οὗτος ὅστιν Ιησοῦς ὁ ναζωραῖος, ὁ ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν. μετὰ δὲ τὸν τρισάγιον ὕμνον, ἀναγινώσκεται βιβλίον ἀποστολικὸν, καὶ λέγει ὁ διάκονος. Πρόσχωμεν.

ἀκουτιζώμεν, σιωπιζώμεν πάντες μετὰ φόβου νοός. Σοφία.

Ψαλμὸς τῷ Δαβὶδ. ὁ λόγος τοῦ θεοῦ ὁ ἅγιος καὶ ἀγαπητὸς, ἀναγγέλλει τὰ τοῦ πατρὸς, ἃ εἰσιν ἀπόκρυφα. ὃ προκείμενον μελῳδεῖ πάλιν, τὴν τῶν προφητῶν σκφαντοείαν, καὶ τὴν προμήνυσιν τῆς τοῦ βασιλέως χρεισοῦ προνοίας, ὡς γραπτῶται προφητεύοντες καὶ βοῶντες· Ο καθήμενος ὑπὲρ τὰ χερουβὶμ ἐμφάνηθι, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. καὶ ὁ θεὸς κάθηται

θηται ὑπὲ θρόνου ἁγίου αὐτȣ. καὶ ὁ αὐτόπτης καὶ ὑπουργὸς τȣ λόγου Παῦλος βοᾷ, κηρύσσων τȣ θεȣ τὴν βασιλείαν, καὶ λέγων, Χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος, καὶ τελειοτέρας. μετὰ τȣ βοᾷ καὶ Ἰωάννης ὁ βαπτιστὴς, Ὁ ὀπίσω μου ἐρχόμενος, ἐστὶν ὁ ἀμνὸς τȣ θεȣ, ὁ αἴρων τὴν ἁμαρτίαν τȣ κόσμου· αὐτὸς ἡμᾶς ἁγιάσει ἐν πνεύματι καὶ πυρὶ, καὶ μέσον ἡμῶν ἔστηκε. μετὰ δὲ τȣτο, καὶ ἡ τῶν ἀποστόλων κλῆσις, καὶ ἡ δοξάζεις αὐτῶν διαφαίνεται διὰ τῆς τῶν πράξεων αὐτῶν, ἢ τῶν ὑπεσολῶν διαγνώσεως. Ὁ ἀλληλουϊα, βοᾷ Δαβὶδ, καὶ λέγει, Ὁ θεὸς ἡμῶν ἐμφανὴς ἥξει, καὶ πῦρ ἐνώπιον αὐτȣ προπορεύσεται. ἐφάνη αἱ ἀστραπαὶ τῶν εὐαγγελιστῶν αὐτȣ τῇ οἰκουμένῃ· τῇ γὰρ ἐρημίᾳ διαλέκτῳ, ὅτι ὁ ἀλ, ἔρχεται, ἐφαίη· ὁ δὲ ηλ, ὁ θεός· ὁ δὲ ουϊα, αἰνεῖτε καὶ ὑμνεῖτε τὸν ζῶντα θεόν. Αμεν. ἀλ ὁ πατὴρ· ηλ, ὁ υἱός· ουϊα, ὁ πνεῦμα ὁ ἅγιον. Αλληλουϊα, θεὸς ἰσχυρὸς, κραταιός, αἶνος θεȣ· αἰνεῖτε τὸν ὄντα θεόν. Αλληλουϊα, αἶνος τῷ ὄντι θεῷ. Αμεν. Αλληλουϊα, θεῖον αἶνον σημαίνει τελεσθῶς, διὰ τὴν τελειοποίησιν παθȣς, υἱȣ, καὶ ἁγίου πνεύματος ἑνιαίαν θεότητα. Αμεν. Αλληλουϊα, κήρυξ τȣ εὐαγγελίȣ κραζων ὁ κύριος ἔρχεται. Αμεν. Αλληλουϊα, αἰνέσατε, ὑμνήσατε. λέγεται ὑπὸ τȣς ἀγγέλȣς ταύτῃ τῇ φωνῇ ὑμνεῖν τὸν θεόν, ὡς καὶ τὰ χερȣβὶμ, τὸν ἅγιος. καὶ τȣτο οἱ ἅγιοι πατέρες παραδεδώκασιν, αὐτήκοοι γενόμενοι, ὡς καὶ Ἡσαΐας τῶν σεραφίμ.

καὶ γὰρ εὐθέως ὁ θυμιατὸς ὑποδηλοῖ τὴν εὐθεροποιὸν τȣ χριστȣ τὸ πῦρ, τὴν θεότητα· ὁ εὐώδης καπνὸς μίμημα τȣ εὐωδίαν τȣ ἁγίου πνεύματος προπορευομένου· ὁ γὰρ θυμιατὸς, ἐστὶν εὐωδεστάτη εὐφροσύνη.

Σοφία. ὁ λόγος τȣ θεȣ. Ὀρθοὶ ἀκούσωμεν τȣ ἁγίου εὐαγγελίου. τȣτέστιν ἀρώμεν τὰς ἀφανείας ἡμῶν σὺν τοῖς ἔργοις ἀπὸ τῶν γηΐνων, καὶ σιωπήσωμεν τῶν ἀγαθῶν τὴν δήλωσιν. Τὸ εὐαγγέλιόν ἐστιν, ἡ προνοία τȣ υἱȣ τȣ θεȣ, καθὼς ἐν ὤφθη ἡμῖν, οὐκέτι διὰ νεφελῶν καὶ αἰνιγμάτων λαλῶν ἡμῖν ὡς ποτὲ τῶν Μωϋσῆ, διὰ φωνῶν καὶ ἀστραπῶν καὶ σαλπίγγων, ἤχῳ καὶ γνόφῳ καὶ πυρὶ ὑπὲ τȣ ὄρȣς, ἢ τοῖς πάλαι προφήταις, δι' ἐνυπνίων, ἀλλ' ἐμφανὴς ὡς ἀνθρωπος ἀληθῶς ἐφάνη, καὶ ὤφθη ἡμῖν, ὡς φανὲς καὶ ἥσυχος βασιλεὺς, ὁ πρὶν καταβὰς ὡς υἱὸς ὑπὲ πόκον ἀφωνητί· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτȣ, δόξαν ὡς μονογενοȣς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. δι' ȣ ἐλάλησεν ἡμῖν ὁ θεὸς καὶ πατὴρ σόμα πρὸς σόμα, καὶ ȣ δι' αἰνιγμάτων. περὶ ȣ ὁ πατὴρ ἐξ ȣρανȣ μαρτυρεῖ, καὶ λέγει· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. Σοφία. λόγος καὶ δυνάμις, ὁ ἐν προφήταις ῥηθεὶς, καὶ προκηρυχθεὶς ἡμῖν, ἐν εὐαγγελίοις δὲ φανερωθεὶς, ἵνα ὅσοι λάβωσιν αὐτὸν καὶ πιστεύσωσιν εἰς τὸ ὄνομα αὐτȣ, λάβωσιν ἐξουσίαν τέκνα θεȣ γενέσθαι, ὃν ἀκηκόαμεν καὶ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, σοφίαν καὶ λόγον θεȣ τȣτον εἶναι πάντες πι-

φεύοντες βοᾶμεν, δόξα σοι κύριε. εἶτα πάλιν τὸ πνεῦμα, τὸ ἐν νεφέλῃ φωτεινῇ ὀπισθιάζον, νεῦ δὲ ἀνθρώπου βοᾷ. Πεῖρα μεν. Πεισέχετε, τουτέστιν, αὐτοῦ ἀκούετε. Ματθαῖος, ἐρμηνεύεται, μεγ. Μάρκος, οἶνος. Λουκᾶς, γάλα. Ἰωάννης, ἔλαιον.

Τὰ τέσσαρα διαγγελιά εἰσι, καὶ τὰ τέσσαρα πνεύματα καθολικά, ἀπηλιώτιον, ζέφυρον, νότον, καὶ βορρᾶν· αὐτὰ γὰρ εἰσι τοῖς σύμπασιν τοῦ πνεύματος. καθολικὰ δὲ λέγονται, διὰ τὰ ἀντιπνέοντα ὀχλῶ. καὶ ἀνέμους.

τέσσαρά εἰσιν διαγγέλια, καὶ τέσσαρα καθολικὰ πνεύματα, καὶ τὰ τετράμορφα ζῶα, λέγω δὲ τὰ χερουβίμ, ἐν οἷς κάθηται ὁ τῶν ὅλων θεός. ἐξ ὧν φαίνεται, ὅτι ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ θεός, καὶ συνέχων τὸ πᾶν, φανερωθεὶς, ἔδωκεν ἡμῖν τετράμορφον τὸ διαγγέλιον, ἑνὶ δὲ πνεύματι συνεχόμενον· καὶ γὰρ τετραπρόσωπά εἰσι. καὶ τὰ πρόσωπα αὐτῶν εἰκονίζουσι τὴν τρανματείαν τοῦ υἱοῦ τοῦ θεοῦ· τὸ μὲν γὰρ πρῶτον ζῶον, φησίν, ὅμοιον λέοντι, τὸ ἔμπροσθεν αὐτοῦ καὶ ἡγεμονικὸν καὶ βασιλικὸν χαρακτηρίζον. τὸ δὲ δεύτερον, ὅμοιον μόσχῳ, τὴν ἱερουργικὴν καὶ ἱερατικὴν τάξιν ἐμφαῖνον. τὸ δὲ τρίτον, ἔχον πρόσωπον ἀνθρώπου, τὴν καὶ ἀνθρώπου αὐτοῦ προσιόντων φανερὰν διαγράφον. τὸ τέταρτον, ὅμοιον ἀετῷ πετομένῳ, τὴν τοῦ ἁγίου πνεύματος ἐφιπταμένην δόσιν σαφηνίζον.

Τίνων καὶ τὰ διαγγέλια, τούτοις σύμμορφά εἰσιν, ἐν οἷς ὀπτάνεται ὁ χριστός· τὸ μὲν γὰρ, ἀετὸς, καὶ Ἰωάννου διαγγέλιον, τὴν ἀπὸ τοῦ πατρὸς ἡγεμονικὴν αὐτοῦ καὶ ἐνδοξον γνῶσιν διηγεῖται λέγων· Ἐν ἀρχῇ ἦν ὁ λόγος. καὶ πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὃ γέγονεν. τὸ δὲ, ταῦρος, καὶ Λουκᾶ, ἅτε ἱερατικοῦ χαρακτῆρος ὑπάρχον, ἀπὸ Ζαχαρίου ἱερέως θυμιῶντος ἀρχεται λέγων· Ἐπειδὴ περὶ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν, καὶ τὰ ἑξῆς. ἤδη γὰρ ὁ σιτευτὸς μόσχος ὑπὲρ τῆς εὑρέσεως τοῦ νεωτέρου παιδὸς ἔμελλε θύεσθαι. βοῦς τὸ ὀρεκτικὸν ἢ πρὸς σημαίνει. ποικίλος δὲ ἵππος, Λουκᾶς, ὡς εὐγλωττότερον καὶ ποικιλώτερον τὸν καὶ τὸν κόσμον ἐκθέμενος. Ματθαῖος δὲ, τὴν καὶ ἀνθρώπου αὐτοῦ γένεσιν χηρύττει λέγων· Βίβλος γενέσεως Ἰησοῦ χριστοῦ, καὶ τὰ ἑξῆς. Τοῦ δὲ Ἰησοῦ χριστοῦ ἡ γένεσις οὕτως ἦν. ἀνθρωπόμορφον οὖν τὸ διαγγέλιον τοῦτο. ἀνθρωπος τὸ λογικὸν, ἀνθρωπος μὲν, τὸν ἐγκέφαλον. λατῖνοι δὲ λέγουσι, ῥατζιονάβιλε, ἕλληνες δὲ λέγουσι φρόνησιν καὶ λογιότητα· οἱ δὲ ἄραβες ἤτοι ζαραχηνοὶ, ἐλαφάκαρ, ἐλαχίλ, γιτζινοῶν. πυρρὸς οὖν ἵππος, Ματθαῖος, ὡς τὰ ἐκ ἀνθρωπίνου τοῦ κυρίου γενέσεως ἐκθέμενος. λέοντος δὲ Μάρκος ἀπὸ τοῦ προφητικοῦ πνεύματος, τοῦ ἐξ ὕψους ἐπιόντος τοῖς ἀνθρώποις, τὴν ἀρχὴν ἐποιήσατο λέγων· Ἀρχὴ τοῦ διαγγέλιου Ἰησοῦ χριστοῦ, ὡς γέγραπται ἐν τοῖς προφήταις· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, τὴν πτερωτικὴν εἰκόνα τοῦ διαγγελίου, διὰ τούτων δείκνυσι.

Λέων

λέων θυμικόν. λατῖνοι λέγουσιν, ἱεραστίβολε. Καὶ ἄλλως. Τὸ θυμικόν, ἀνδρίαν καὶ δεξιόν· λατῖνοι ἱεραστίβολε, Φραγκηνοὶ, ἑλληνοὶ, ἐνιδε, οὐελγίβολω. Καὶ ἀλλῶς. Ψαρὸς ἵππος, Μαρκος, ὡς διαθέτερον τὸ εὐαγγέλιον γράψας· Ἰωάννης, ἀετός, τὸ πνευματικόν. Καὶ ἄλλως. Ἀετὸς ἡ ψυχή. Καὶ ἄλλως. Λευκὸς ἵππος Ἰωάννης, ὡς λευκότερον πᾶσιν ἄγνεσιν ἐπιτεύσας. καὶ αὖθις δὲ ὁ λόγος τοῦ θεοῦ, τοῖς μὲν τοῦ Μωϋσέως πατριαρχαις, κατὰ τὸ θεῖον καὶ ἔνδοξον ὡμίλει· τοῖς δὲ ἐν τῷ νόμῳ, ἱεραστικὴν τάξιν ἀπένειμε· μετὰ δὲ ταῦτα ἀνθρωπος γενόμενος, τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος, εἰς πᾶσιν ἐξέπεμψε τὴν χλῶν, σκεπάζων ἡμᾶς ταῖς αὐτοῦ πτέρυξιν. ὁποία οὖν ἡ τοῦ σχηματεία τοῦ υἱοῦ τοῦ θεοῦ, τοιαύτη καὶ τῶν ζώων ἡ μορφὴ, τοιοῦτος καὶ τῶν εὐαγγελίων ὁ χαρακτὴρ· τετράμορφα γὰρ τὰ ζῶα, τετράμορφον καὶ τὸ εὐαγγέλιον, καὶ ἡ τοῦ σχηματεία τοῦ κυρίου, καὶ διὰ τοῦτο, τέσσαρες ἐδόθησαν καθολικαὶ διαθῆκαι τῇ ἀνθρωπότητι· μία μὲν τοῦ κατακλυσμοῦ τοῦ τόξου, ὅπερ τοῦ τόξου· δευτέρα δὲ, τοῦ Ἀβραάμ, ὅπερ σημεῖον τῆς περιτομῆς· τρίτη δὲ, ἡ νομοθεσία διὰ Μωϋσέως· τετάρτη δὲ, ἡ τοῦ εὐαγγελίου Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν. τούτων δὲ ὄντων ἐγγύτατα, μάταιοι πολῖται καὶ ἀμαθεῖς, τοσοῦτοι δὲ καὶ τολμηροὶ, οἱ ἀθετοῦντες τὴν ἰδέαν τοῦ εὐαγγελίου, καὶ εἴτε πλείονα, εἴτε ἐλάττονα τῆς εἰρημένων προσφέροντες εὐαγγελίων τοῖς πρόσωπα· οἱ μὲν, ἵνα πλείονα δόξωσι τῆς δημοσίας ἐξαρκεῖν· οἱ δὲ, ἵνα τὰς οἰκονομίας τοῦ θεοῦ ἀθετήσωσιν. αἱ μὲν τὴν τῶν θείων εὐαγγελίων ἀνάγνωσιν εὐχαὶ καὶ αἰτήσεις, ἄχρι τοῦ χερουβικοῦ ὕμνου, τὴν ὅπερ τεσσαρὶ χρόνοις διδασκαλίαν ἐμφαίνουσι τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν, καὶ τὴν τῶν τοῖς βάπτισμα εὐτρεπιζομένων κατήχησιν· ἐφ' ὃ τούτοις ἡ τῶν λόγων δυνάμις, καὶ ἡ τῶν θαυμάτων ἐνέργεια καθυφείλκετο. ὅτε δὲ καὶ οἱ κατηχούμενοι καὶ μήπω καταξιωθέντες τῶν τοῦ χριστοῦ μυστηρίων, ἔξω μεθίστανται. αἱ δὲ ἐν τῷ μεταξὺ τούτων γινόμεναι εὐχαὶ, ἐπὶ αὐτῶν τε γίνονται τῶν κατηχουμένων, πιστῶν, καὶ αὐτοῦ τοῦ ἀρχιερέως· ἐννοοῦντες δὲ οἱ θεοπέσιοι πατέρες, ὁποίαν εἶναι χρὴ τὴν ψυχὴν, καὶ τὴν χεῖρα τοῦ μελλόντος ἅπτεσθαι, τοῦ παναγίου σώματος χριστοῦ τοῦ θεοῦ ἡμῶν, καὶ ὡς καθαρωτέραν τῶν ἡλιακῶν ἀκτίνων ταύτην δεῖ τυγχάνειν, τὰς ἐπὶ τῆς συγχωρήσεως τούτων εὐχὰς, διὰ φιλανθρωπίαν ἐσομένας, ἐξέθεντο.

Ἐλέησον ἡμᾶς ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου. μέγα ἔλεος, ὁ υἱὸς τοῦ θεοῦ καὶ λόγος, ὃν εἰς τὸν κόσμον ἀπέστειλεν ἱλασμὸν ὁ πατήρ.

Τὸ καταφραγίσαι τὸν λαὸν τὸν ἀρχιερέα, ἐπιδεικνύει τὴν μελλούσαν χριστοῦ παρουσίαν, ἐν τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει μελλεῖν ἔσεσθαι, διὰ τῆς ψηφίδος τῶν δακτύλων ἐμφαινούσης, ἑξακισχιλιοστὸν πεντακοσιοστόν. τοῦτο καὶ Ἱππόλυτος Ρώμης, καὶ ὁ ἅγιος Κύριλλος λέγουσιν ἐν τοῖς περὶ τοῦ ἀντιχρίστου λόγοις αὐτῶν, ἐν ᾧ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ

ἔτει, πλὴν μνήσουσθαι προσεύχεσθαι, καὶ ὁ Χρυσόστομος.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχει. Ὅσοι κατηχούμενοι προσέλθετε. οἱ κατηχούμενοι ἐξέρχονται, ὡς ἀμύητοι τοῦ θείου βαπτίσματος, καὶ τῶν τοῦ χριστοῦ μυστηρίων, περὶ ὧν λέγει ὁ κύριος, ὅτι καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, καὶ τὰ ἑξῆς.

Εὔξασθε οἱ κατηχούμενοι τῷ κυρίῳ. οἱ ἀμύητοι, οἱ ἀβάπτιστοι, καὶ οἱ ἐν ὀπτιμίοις δὲ ἐξαγορεύσεως· ἀμύητοι μὲν, οἱ ἄπειροι, οἱ ἔτι μὴ μεταλαβόντες τῶν θείων μυστηρίων· ἀβάπτιστοι δὲ, οἱ μὴ φωτισθέντες ἔτι διὰ τοῦ λουτροῦ τοῦ βαπτίσματος· οἱ ἐξαγορεύσαντες καὶ ἔτι ἐν ὀπτιμίοις ὄντες.

προσφωνεῖ, Ἵνα πιστοὶ εὔξωνται ὅπως τύχωσι τῆς ἀφέσεως, καὶ τοῦ ζωοποιοῦ θυμάτος διὰ τοῦ βαπτίσματος. Οἱ πιστοὶ ὑπὲρ τοῦ κατηχουμένων δεηθῶμεν. οἱ φωτισθέντες καὶ ἀμνησικακοῦντες, οἱ καὶ ἀνεχόμενοι τῆς ἀδικίας, καὶ συγχωρεῖν καὶ εὐεργετεῖν τοῖς ἀδικοῦσιν, εὔξασθε ὑπὲρ τῶν κατηχουμένων, ἤγουν ὑπὲρ τῶν ἀμυήτων, ὡς φησιν ὁ ἀπόστολος, Οἱ δυνατοὶ τῶν ἀδυνάτων τὰ βαρὴ βαστάζετε. Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας. διδάξῃ αὐτοὺς τὰ τοῦ σωτῆρος τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης. Φανερώσῃ αὐτοῖς τὴν δήλωσιν τῶν ἀγαθῶν πραγμάτων. Ἐνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. ἀξιώσῃ αὐτοὺς τῆς ζωοποιοῦ θυσίας.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ κυρίῳ κλίνατε. οἱ ἀμύητοι, τὰς αἰσθήσεις καὶ τὰς καρδίας ἁγνὰς πρὸς τὸν κύριον νεύσατε.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πανάγιον. ἵνα φωτισθέντες, καὶ τῆς ἀφέσεως, καὶ τῆς μυστικῆς ζωοθυσίας τυχόντες, δοξάζωσί σε σὺν ἡμῖν, τὸν πατέρα καὶ υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὸ εἰλητὸν σημαίνει τὸν σινδόνα, ἐν ᾗ ἐνειλήθη τὸ σῶμα τοῦ χριστοῦ ἐκ τοῦ σταυροῦ καταβαν, καὶ ἐν μνημείῳ τεθέν. Ὅσοι κατηχούμενοι προσέλθετε. πᾶς ἀμύητος καὶ ἀφώτιστος, καὶ ὢν ἐν ὀπτιμίοις ἔτι, πιστεύσατε, ἤκατε, φωτίσθητε, καὶ τῇ ψυχοτόφῳ ἀγαπέσῃ προσπελάσατε, καὶ τὴν ἱερουργούμενον, ἁγναῖς καρδίαις καὶ ψυχαῖς βλέψατε, ἵνα ὡς οἱ πιστοὶ ἦτε, καὶ μὴ ἦτε ἔτι κατηχούμενοι, ἀκμὴν καὶ ἀκμὴν μετ' ἠρέμου νοὸς τοῦ κυρίου δεηθῶμεν. ὁ χερουβικὸς ὕμνος ἐμφαίνει διὰ τῆς τῶν διακόνων προσδοποιήσεως, καὶ τῆς τῶν ῥιπιδίων, ἤγουν τῆς τῶν σεραφικῶν ἀπειχηνισμάτων ἰσοτιμίας, τὴν εἴσοδον τῶν ἁγίων καὶ δικαίων πνευμάτων σὺν τοῦ ἁγίου τῶν ἁγίων ὑπαρχόντος, σὺν τῇ σπουδαιομνήμων ἐμπροσθεν χερουβικῶν δυνάμεων, καὶ ἀγγελικῶν στρατιῶν, καὶ χορῶν ἀσωμάτων καὶ ἀύλων τάξεων ἀοράτως προπορευόντων, καὶ ὑμνούντων καὶ δορυφορούντων ἐμπροσθεν τοῦ μεγάλου βασιλέως χριστοῦ, προπορευομένου εἰς μυστικὴν θυσίαν, καὶ ὑπὸ χεῖρα ἀύλων βαστάζομένου, μεθ' ὧν καὶ τὸ πανάγιον σὺν σπουδαιομνήμων

ἐμπρ

ὑμᾶς θεωθεν ἐν τῇ διαμακίῳ θυσίᾳ καὶ λογικῇ λειτουργίᾳ, κοσμοῦς θεωρουμένους, πνευματικῶς καὶ θυμιάματι τῷ ἀτμίδι καρποῦ δικαίου τῷ μὲν πνεῦς, δηλοῦντος τὸν θεότητα· τῆς δὲ ἀτμίδος τῷ δικαίου καρποῦ, τὸν θεοσεβῆ ἀνδρα, ἐπελθόντος ἀοράτως καὶ δικαιοῦντος ἡμᾶς, διὰ τῆς μυστικῆς καὶ ζωοποιοῦ καὶ δυναμικοῦ λατρείας καὶ ὁλοκαρπώσεως. Ἀλλὰ καὶ αἱ κοσμικαὶ δυνάμεις, καὶ αἱ χορεστασίαι τῶν ἀγγέλων, ὁρῶσαι τὸν διὰ τῶν σταυροῦ καὶ τοῦ θανάτου χειροῦ τετελεσιουργημένον ἀστῶν οἰκονομίαν· λοιπὸν δὲ καὶ τὸν διὰ τῶν θανάτου νικηνικὴν θυομένων, καὶ τὸν ἐν τοῖς ἅδου καθόδοις, καὶ τὴν μεγαλοδύναστον, καὶ δυνάστας ἀστῶν, στεῖν ἡμῖν βοῶσιν ἀοράτως, ὁ ἀνθρωπολατρεία.

ὁρῶσαι αἱ κοσμικαὶ δυνάμεις, ὁ χειροποίητον ἐρχόμενον μετὰ τῶν ἡμείων δώρων, ἤγουν ὁ σῶμα τοῦ κυρίου Ἰησοῦ, ἀπὸ τῶν κρανίου ἕως τῶν τάφου, στεῖν ἡμῖν ἀοράτως βοῶσιν τὸν ὕμνον, ὁ ἀνθρωπολατρεία.

